ACTS OF PILATE


FROM A

TRANSCRIPT OF THE CODEX

DESIGNATED BY THILO

AS

PARIS D.


1837
ARTES
SCIENTIA
VERITAS
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
E PLURIBUS UNUM
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE

ACTS OF PILATE

FROM A

TRANSCRIPT OF THE CODEX

DESIGNATED BY THILO

AS

PARIS D.

CAMBRIDGE:
JOHN WILSON AND SON.
University Press.
1881.

PREFATORY NOTE.

In 1856 the writer of these lines procured through F. W. Christern a collation of the Greek manuscript of the Acts of Pilate, which Thilo in his Codex Apocryphus has entitled Paris D. This collation was made by Fr. Duebner, editor of classics, and bears internal evidence of having been done with care and fidelity by an expert. The readings of the manuscript are often given incorrectly by Thilo, whom Tischendorf has followed in his "Evangelia Apocrypha," Leipsic, 1853; 2d ed. 1876.

Though the transcript of said Codex will only have a value for scholars, yet it seems but fair to those engaged in this kind of study that the result of the collation should be rendered accessible.

Emendations of the text in brackets, when not by Thilo, are, with one exception, by Mr. Duebner or Prof. E. Abbot. In the notes T. stands for Thilo, D. for Duebner, A. for Abbot, and H. for the present writer.

The orthography is intended to be a transcript from Paris D, including its errors.

The division into paragraphs is my own. The largest type is intended to represent what originally belonged to the document; the medium-sized type to represent interpolations of the second and third centuries. The smallest type represents the interpolations after the establishment of Christianity. On the first two of these classifications, however, compare *Indirect Testimony*, p. 107.

Dots have been inserted where the manuscript had evidently omitted something; and dashes have in some cases been inserted where a duplicate wording appeared, as in the use of *θεοσεβὴς* for *'Ιουδαῖος*, on which see *Judaism*, p. 342, and on pp. 462, 463, footnote 4.

Words with an asterisk appended exist only in an abbreviated form in the Codex.

The numbering of sections inserted in brackets may aid the reader in comparing the Greek with a translation on pp. 107–142 of *Indirect Testimony*.

The proof-sheets have been read by Prof. E. Abbot, whose care and competency are well known.

F. HUIDEKOPER.

MEADVILLE, Pa., August, 1881.

ACTS OF PILATE.

ΔΙΗΓΗΣΙΣ ΠΕΡΙ ΤΟΥ ΤΙΜΙΟΥ ΠΑΘΟΥΣ ΤΟΥ ΚΥΡΙΟΥ ̔ΗΜΩΝ ΚΑΙ ΣΩΤΗΡΟΣ ̔ΗΜΩΝ ̓ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ΚΑΙ ΠΕΡΙ ΤΗΣ ̔ΑΓΙΑΣ ̓ΑΥΤΟΥ ̓ΑΝΑΣΤΑΣΕΩΣ, ΣΥΓΓΡΑΦΕΙΣΑ ΠΑΡΑ ̓ΙΟΥΔΑΙΟΥ ̓ΕΝΝΑΙΑ ̓ΟΝΟΜΑΤΙ, ̔ΗΝ ΜΕΤΗΝΕΓΚΕΝ ̓ΕΚ ΤΗΣ ̔ΕΒΡΑΪΚΗΣ ΓΛΩΤΤΗΣ ̓ΕΙΣ ̔ΡΩΜΑΪΔΗ ΔΙΑΛΕΚΤΟΝ ΝΙΚΟΔΗΜΟΣ ΤΟΠΑΡΧΗΣ ̔ΡΩΜΑΙΟΣ.

Μετὰ τὸ καταλυθῆναι τὴν βασιλείαν τῶν Ἑβραίων, *τετρακοσίων χρόνων παραδραμούντων [παραδραμόντων], καὶ ὑπὸ τὴν βασιλείαν* Ῥωμαίων *τελούντων καὶ τῶν* Ἑβραίων, *τοῦ* Ῥωμαίων *βασιλέως βασιλέα αὐτοῖς χειροτονοῦντος· τοῦ* Τιβερίου Καίσαρος *ὕστερον τὰ* Ῥωμαϊκὰ *σκῆπτρα διέποντος, ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ βασιλέα χειροτονήσαντος ἐν τῇ* Ἰουδαίᾳ Ἡρώδην, *τὸν υἱὸν* Ἡρώδου, *τοῦ πρὶν τὰ νήπια ἀποκτείναντος ἐν* Βηθλεέμ, *καὶ τὸν* Πιλάτον *ἐν* Ἱερουσαλὴμ *ἔχοντος ἡγεμόνα· τοῦ* Ἄννα *καὶ τοῦ* Καϊάφα *τὴν ἀρχιερωσύνην ἐχόντων τοῖς [τῆς]* Ἱερουσαλήμ,

Νικόδημος τοπάρχης Ῥωμαῖος Ἰουδαίων [Ἰουδαῖον] προσκαλεσάμενος Ἐνναία ὀνόματι, ἐζήτησε συγγράψασθαι τὰ κατὰ τοὺς καιροὺς Ἄννα καὶ Καϊάφα πραχθέντα ἐν Ἱερουσαλὴμ περὶ τοῦ Χριστοῦ· ὃ δὴ καὶ ποιήσας ὁ Ἰουδαῖος καὶ τῷ Νικοδήμῳ παραδοὺς, οὗτος αὖθις ἀπὸ τῆς Ἑβραϊκῆς συγγραφῆς μετήνεγκε ταῦτα εἰς τὴν Ῥωμαϊκὴν διάλεκτον. Ἔχει δὲ τὰ τῆς ἱστορίας οὕτως.

[§ 1.] *Τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πολλὰ καὶ μεγάλα καὶ ἐξαίσια θαύματα ἐν τῇ Ἰουδαίᾳ ἐργασαμένου, καὶ διὰ τοῦτο φθονηθέντος ὑπὸ τῶν Ἑβραίων, ἡγεμονεύοντος εἰς Ἱεροσόλυμα τοῦ Πιλάτου, ἀρχιερατευόντων δὲ τοῦ τε Ἄννα καὶ τοῦ Καϊάφα, ἦλθον ἐκ τῶν Ἰουδαίων πρὸς τοὺς αὐτοὺς ἀρχιερεῖς ὁ Ἰούδας, Λευΐ, Νεφθαλεὶμ, Ἀλέξανδρος, Σύρος καὶ ἄλλοι πολλοὶ λέγοντες κατὰ τοῦ Χριστοῦ, οὓς καὶ ἀπέστειλαν οἱ τοιοῦτοι ἀρχιερεῖς εἰπεῖν ταῦτα καὶ τῷ Πιλάτῳ ἡγεμόνι· οἳ καὶ ἀπελθόντες εἶπον πρὸς αὐτόν· ὅτι ἄνθρωπος περιπατεῖ ἐν τῇ πόλει ταύτῃ πατέρα ἔχων Ἰωσὴφ λεγόμενον καὶ μητέρα Μαριὰν, ὀνομάζει δὲ αὐτὸν βασιλέα καὶ υἱὸν θεοῦ· καὶ Ἰουδαῖος ὢν ἀνατρέπει τὰς γραφὰς, καὶ καταλύει τὰ σάββατα.*

Ἠρώτησεν οὖν ὁ ἡγεμὼν ὁ Πιλάτος μαθεῖν ἐξ αὐτῶν, κατὰ τίνα τρόπον καταλύει τὰ σάββατα. Καὶ ἀπεκρίθησαν οὗτοι λέγων [*λέγοντες*]*· Ὅτι τοὺς ἀσθενεῖς ἰατρεύει ἐν σαββάτῳ. Λέγει ὁ Πιλάτος· Εἰ τοὺς ἀσθενεῖς ὑγιεῖς ποιεῖ, οὐδὲν κακὸν ποιεῖ. Λέγουσιν αὐτῷ· Εἰ καλῶς ἐνήργει τὰς ἰατρείας, μικρὸν ἂν ἦν τὸ κακόν· μαγείᾳ δὲ χρώμενος ποιεῖ ταύτας καὶ τοὺς δαίμονας ἔχων παρ' ἑαυτῷ. Λέγει ὁ Πιλάτος· Τὸ ἰατρεύειν ἄρρωστον διαβολικὸν ἔργον οὐκ ἔστιν, ἀλλὰ χάρισμα ἦν*[1] *ἐκ θεοῦ. Εἶπον οἱ Ἑβραῖοι· Δεόμεθα τῆς μεγαληότητός* [*μεγαλειότητος*][2] *σου μετακαλέσασθαι αὐτὸν, ὡς ἂν γνωρίσῃς ἀκριβῶς, ὅπερ λέγομεν.* [§ 2.] *ἐκβαλὼν οὖν ἡγεμὼν ὁ Πιλάτος τὸ μανδήλιον* *ἤτοι τὸ φακιόλιον* *αὐτοῦ δέδωκεν ἑνὶ τῶν ὑπηρετῶν αὐτοῦ, Ῥαχαὰβ ὀνόματι, ἤγουν τοῦ κούρσουρος* [*τῷ κούρσορι*] *αὐτοῦ, λέγων*

---

[1] Deinde ἀλλὰ χάρισμα ἦν ἐκ θεοῦ, η tam ancipiti atque obscuro ductu, ut o esse possit, et ὃν legi. — D.

[2] Μεγαληότητος, i.e. μεγαλειότητος, non μεγαλότητος, quod male impressum. — D.

αὐτῷ· Ἄπελθε καὶ δεῖξον τοῦτο τῷ Ἰησοῦ, καὶ εἰπὲ αὐτῷ· Πιλάτος ὁ ἡγεμὼν καλεῖ σε πρὸς αὐτὸν ἐλθεῖν. Ἀπῆλθε τοίνυν ὁ ὑπηρέτης, καὶ εὑρὼν τὸν Ἰησοῦν

ἐν τῇ ἡμέρᾳ κυριακῇ τῶν βαΐων[3] *καθήμενον ἐπὶ ὄνου, καὶ ἐν τῇ ὁδῷ αὐτοῦ Ἑβραῖοι ἐστρώννυον τὰ ἱμάτια αὐτῶν, καὶ περιεπάτει ὁ ὄνος ἐπάνω τῶν ἱματίων. καὶ ἰδὼν ὁ ὑπηρέτης τὴν τοιαύτην τιμὴν τοῦ Ἰησοῦ, ὁμοίως καὶ αὐτὸς κατα**[4] . . . *γεγονὼς*

προσεκαλεῖτο τοῦτον, ἁπλώσας ἐπὶ τῆς γῆς καὶ τὸ τοῦ Πιλάτου μανδήλιον, καὶ ἐπάνω αὐτοῦ περιπατεῖν αὐτὸν προτρεπόμενος. ὅπερ ἰδόντες οἱ Ἑβραῖοι καὶ μεγάλως ἀγανακτήσαντες, ἦλθον πρὸς ἡγεμόνα τὸν Πιλάτον, γογγύζοντες κατ' αὐτοῦ πῶς τοσαύτης τιμῆς τὸν Ἰησοῦν ἠξίωσε. [§ 3.] *καὶ οὗτος τὸν ἀποσταλέντα ὑπηρέτην ἀνερευνήσας πῶς οὕτως ἐποίησεν, ἀπεκρίθη ὁ ὑπηρέτης λέγων· ὅτε με ἀπέστειλας πρὸς τὸν Ἰουδαῖον Ἀλέξανδρον, ἐνέτειχον* [*ἐνέτυχον*] *τῷ Ἰησοῦ εἰσερχομένῳ τὴν πύλην τῆς πόλεως, καθημένῳ ἐπὶ ὄνου. καὶ εἶδον τοὺς Ἑβραίους ὅτι ἔστρωνον* [*ἐστρώννυον*] *ἐν τῇ ὁδῷ τὰ ἱμάτια αὐτῶν, καὶ περιεπάτει ὁ ὄνος ἐπάνω τῶν ἱματίων· καὶ ἕτεροι ἔκκοπτον*[5] *κλάδους καὶ ἐξήρχοντο εἰς ἀπάντησιν αὐτοῦ, καὶ ἔκραζον· ὡς ἀννὰ* (*sic*) *ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. οὕτως οὖν ἔδει καὶ ἐμὲ ποιῆσαι· καὶ οὕτως ἐποίησα. Ἀκούσαντες οἱ Ἰουδαῖοι τοὺς λόγους τούτους, εἶπον πρὸς αὐτόν· σὺ δὲ Ῥωμαῖος ὃν* [*ὢν*], *πῶς ἐγίνωσκες τὰ παρὰ τῶν Ἑβραίων λεγόμενα; Ἀπεκρίθη ὁ ὑπηρέτης καὶ εἶπεν· ἕνα ἐκ τῶν Ἑβραίων ἠρώτησα, καὶ εἶπέν μοι ταῦτα. Εἶπεν ὁ Πιλάτος· καὶ τί λέγει ὡς ἀννά; Εἶπον οἱ*

---

[3] Thilo dedit *κυριακῇ τῶν Ἑβραίων*, quod subabsurdum est, pro nitida codicis scriptura *κυριακῇ τῶν βαΐων*. — D.

[4] *Κατα** (in fine lineæ) *γεγονὼς* (ut aliquid excidisse vel vitiatum esse appareat), *προσεκαλεῖτο*. — D.

[5] Sic, sine augm. — D. Legendum *ἔκοπτον*. Augmentum adest, *κ* duplicato. — A.

Ἰουδαῖοι· σῶσον ἡμᾶς, κύριε. Ἀπεκρίθη ὁ Πιλάτος· ἐπεὶ ὁμολογεῖται [ὁμολογεῖτε], ὅτι οὕτως ἔλεγον οἱ ἀπειρόκακοι παῖδες ὑμῶν, πῶς νῦν κατηγορεῖτε καὶ λέγετε κατὰ τοῦ Ἰησοῦ, ὅσα λέγετε; Ἐσιώπησαν οἱ Ἰουδαῖοι, καὶ οὐδὲν εἶχον ἀντιπεῖν [ἀντειπεῖν].

Ἐν ἐκείνῳ τῷ καιρῷ προσεκαλέσατο ὁ Ἰησοῦς οὓς ἤθελεν· καὶ ἀπῆλθον πρὸς αὐτὸν, καὶ ἐποίησεν ιβʹ, ἵνα ὦσιν μετ' αὐτοῦ, καὶ ἵνα ἀποστέλλει [ἀποστέλλῃ] αὐτοὺς κηρύσσειν ἐν παντὶ τῷ κόσμῳ τὸ ὄνομα αὐτοῦ. ἤρξατο δὲ καινὸν νόμον ποιῆσαι, τοῦ καταλύειν τὰ σάββατα τὴν κατάπαυσιν τῶν Ἰουδαίων, ἣν εἶχον ἐν τῇ παλαιᾷ διαθήκῃ ἀπὸ θεοῦ καὶ τοῦ Μωυσέως· εἴ τις Ἰουδαῖος τέθνηκεν ἐν σαββάτῳ, οὐκ ἔθαπτον αὐτὸν εἰ μὴ τῆς ἐπιούσης ἡμέρας. ὁ δὲ Ἰησοῦς βουλόμενος πληρῶσαι τὸν νόμον ἐκεῖνον, ἐν σαββάτῳ τὸν παράλυτον συνέσφιγξεν· τοῦ ἀρχισυναγώγου τὴν θυγατέραν (*sic*) τὴν αἱμορωοῦσαν [αἱμορροοῦσαν] ἰάσατο ἐν σαββάτῳ· τὸν τυφλὸν, τὸν λεπρὸν, καὶ δαιμονιόντα [δαιμονιῶντα] καὶ νεκρὸν ἐν σαββάτῳ αὐτοὺς ἰάσατο· ἐν σαββάτῳ τὸν Λάζαρον τετραήμερον ἤγειρε· καὶ διὰ τοῦτο ἐζήτουν οἱ Ἰουδαῖοι αὐτὸν ἀποκτεῖναι, ὅτι ἀπὸ τότε ὁ λαὸς πᾶς ἠκολούθη [ἠκολούθει] αὐτῷ·—διότι τετραήμερον σεσέποτε [σεσηπότα] ἤγειρε, τότε εἰς φθόνον ἐκείνησαν [ἐκινήθησαν ?] οἱ Ἰουδαῖοι·

καὶ ὡς φησὶν—ὁ εὐαγγελιστὴς Ἰωάννης·—τὰ γραφόμενα βιβλία· τότε δὲ μετὰ τὴν ἀνάστασιν τοῦ Δαζάρου· ὁ Ἰησοῦς ἐκλίθη ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ μετὰ τῶν μαθητῶν αὐτοῦ, ἵνα φάγῃ μετ' αὐτοῦ. αὐτοῦ ἀνακειμένου, ἦλθεν γυνὴ ἀλάβαστρον μύρου ἔχοντα [ἔχουσα], καὶ κατέχεεν ἐν τῇ κεφαλῇ τοῦ Ἰησοῦ. Ἰδὼν δὲ Ἰούδας ὁ μέλλων παραδῶσαι (*sic* cod.) τοῦτον, εἶπεν ἐν ἑαυτῷ· ἠδύνατο τοῦτο τὸ μύρον πραθῆναι πολλοῦ, καὶ δωθῆναι πτωχοῖς. Εἶπε δὲ τοῦτο, οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελλεν [ἔμελεν] αὐτῷ, ἀλλ' ὅτι κλέπτης ἦν καὶ τὸ γλωσσόκομον εἶχε, καὶ τὰ βαλλόμενα ἐβάσταζεν. Γνοὺς δὲ αὐτοῦ τὸν δόλον ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· ἡ γυνὴ αὕτη καλὸν ἔργον ἠργάσατο [εἰργάσατο], καὶ πρὸς τὸ ἐνταφιάσαι με πεποίηκεν· τοὺς πτωχοὺς πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. Τότε πορευθεὶς εἷς τῶν ιβʹ λεγόμενος Ἰούδας Ἰσκαριότης (*sic*), καὶ πρὸς τοὺς ἀρχιερεῖς εἶπεν· τί θέλετέ μοι δοῦναι; κἀγὼ ὑμῖν παραδώσω αὐτόν. Οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια. Ἀπὸ τότε ἐζήτει ὁ Ἰούδας εὐχερίαν (*sic*), ἵνα αὐτὸν παραδῶ. Ὀψίας δὲ αὐτῶ (*sic*) ἀνέκειτο ὁ Ἰησοῦς μετὰ τῶν δώδεκα. τότε ἐγερθεὶς καὶ λαβὼν λεντιον, διέζωσεν ἑαυτόν· εἶτα βάλλει ὕδωρ εἰς τὸν νυπτῆρα [νιπτῆρα]· καὶ ἤρξαντο [ἤρξατο] νυπτειν [νίπτειν] ὁ Ἰησοὺς τοὺς πόδας τῶν μαθητῶν αὐτοῦ, καὶ εἶπεν· ὁ θέλων πρῶτος εἶναι, ἔσται πάντων ἔσχατος. Τότε δὲ ἔνυψε [ἔνιψε] πρῶτον τὸν Ἰούδα, εἶτα τοὺς ἄλλους μαθητάς· καὶ ἤρξατο ἐκμάσσειν τῷ λεντίῳ ὃ ἦν διεζωσμένος. τότε εἶπεν· ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ πάντες. Εἶπε δὲ τοῦτο διὰ τὸν Ἰούδα. φησὶν δὲ πάλιν πρὸς αὐτοὺς αὖθις· γινώσκετε τί πεποίηκα ὑμῖν; ὑπόδειγμα δέδωκα, ἵνα καθὼς ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε. ἔχειν δὲ καθαρὰν ἀγάπην καὶ ταπείνωσιν εἰς πάντας· εἰ ποιεῖτε ταῦτα, μακάριοι ἐστέ. Τότε ἐκάθησαν [ἐκάθισαν] τοῦ ἐσθίειν τὸ πάσχα· καὶ λαβὼν τὸν ἄρτον ὁ Ἰησοῦς, εὐχαριστήσας ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς, καὶ εἶπεν· λάβετε, φάγετε, τουτόεστι (*sic*) τὸ σῶμά μου. καὶ λαβὼν τὸ ποτήριον, εὐλογήσας ἔδωκεν αὐτοῖς λέγων· πίετε ἐξ αὐτοῦ πάντες, τουτόεστιν τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης. Τότε λέγει αὐτῶν (*sic*)· εἷς

ἐξ ὑμῶν παραδώσει με. Τότε ἕκαστος ἤρξατο λέγειν· μήτι ἐγώ εἰμι, κύριε; ὁ δὲ ἀποκριθεὶς εἶπεν· ὁ ἐμβάψας μετ' ἐμοῦ τὴν χεῖρα ἐν τῷ τριβλίῳ [τρυβλίῳ], οὗτός με παραδώσει. καὶ ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ μέλλω παραδίδοσθαι· καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. Ἀποκριθεὶς δὲ ὁ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν εἶπε· μή τι ἐγώ εἰμι, ῥαμβί (sic); Λέγει αὐτῷ· σὺ εἶπας. Τότε ἀνεχώρησεν ὁ Ἰούδας. κἀκεῖνοι ἦλθον εἰς ὄρος τῶν ἐλαιῶν. εἶπε δὲ τοῖς μαθηταῖς αὐτοῦ ὁ Ἰησοῦς ὅτι οἱ πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ. Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ· εἰ πάντες σκανδαλισθήσονται ἐν σοί, ἐγὼ οὐδέποτε σκανδαλισθήσομαι. Ἔφη αὐτῷ ὁ Ἰησοῦς· ἀμὴν λέγω σοι ὅτι ἐν ταύτῃ τῇ νυκτὶ πρὶν ἀλέκτωρα [ἀλέκτορα] φωνῆσαι τρεῖς [τρὶς] ἀπαρνήσῃ με. Ἔφη αὐτῷ ὁ Πέτρος· εἰ ἔλθω τοῦ ἀποθανεῖν, οὐ μή σ' ἀπαρνήσομαι. Ὁμοίως δὲ καὶ πάντες οἱ μαθηταὶ εἶπον. Τότε ἔρχεται μετ' αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον λεγόμενον Γεθσημανή, πέραν τοῦ χειμάρουν [χειμάρρου] τῶν καίδρων [κέδρων], ὅπου ἦν κύπος [κῆπος]· καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ· καθίσατε αὐτοῦ ἕως ἀπέλθω· προσεύξομαι ἐκεῖ. καὶ παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς Ζεβεδαίου, ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν. Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· περίλυπος ἐστὶν ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε καὶ γρηγορεῖτε μετ' ἐμοῦ. καὶ προσελθὼν [προελθὼν?] μικρὸν, ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ προσευχόμενος καὶ λέγων· πάτερ μου, εἰ δυνατὸν ἔστιν (sic) παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. Ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ' οὐρανοῦ, ἐνισχύων αὐτόν. καὶ γενόμενος ἐν ἀγωνίᾳ, ἐκτενέστερον προσηύξατο. ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρομβοὶ αἵματος καταβαῖνον [καταβαίνων? καταβαίνοντες?] ἐπὶ τὴν γῆν. καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς ἔρχεται πρὸς τοὺς μαθητάς· καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας· καὶ λέγει τῷ Πέτρῳ· οὗτος (sic) οὐκ ἰσχύσατε μίαν ὥραν ἀγρυπνῆσαι μετ' ἐμοῦ· γρηγορεῖτε καὶ προσεύχεσθαι [προσεύχεσθε], ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενεῖς [ἀσθενής]. Πάλιν δὲ ἐκ δευτέρου ἀπελθὼν προσηύξατο λέγων· Πάτερ μου, εἰ οὐ δύναται τοῦτο τὸ ποτήριον ἐλθεῖν ἀπ' ἐμοῦ, ἐὰν μὴ πίω αὐτῷ [αὐτὸ], γενηθήτω τὸ θέλημά σου. καὶ ἐλθὼν εὑρίσκει αὐτοὺς πάλιν καθεύδοντας· ἦσαν γὰρ οἱ ὀφθαλμοὶ αὐτῶν βεβαριμένοι [βεβαρημένοι] ὕπνῳ. καὶ ἀφεὶς αὐτούς, ἀπελθὼν πάλιν προσηύξατο ἐκ τρίτου τὸν αὐτὸν λόγον εἰπών. τότε ἔρχεται πρὸς τοὺς μαθητὰς καὶ λέγει αὐτοῖς· καθεύδεται [καθεύδετε] τὸ λοιπὸν καὶ ἀναπαύεσθαι [ἀναπαύεσθε]. ἴδη [Ἤιδει] δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς . . . τὸν τόπον, ὅτι πολλάκις συνῆλθεν[1] . . . χαίρων πρὸς τοὺς ἀρχιερεῖς. Γνοὺς δὲ ὁ Ἰησοῦς τὸ μέλλον τι [τὰ μέλλοντα] γενέσθαι (sic) κατὰ τὸ ὁρισμένον [ὡρισμένον], λέγει τῶν μαθητῶν (sic) αὐτοῦ· Ἰδοὺ ἤγγικεν ἡ ὥρα· καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν· ἐγείρεσθαι [ἐγείρεσθε], ἄγωμεν ἐντεῦθεν· ἰδοὺ ἤγγικεν ὁ παραδιδούς με. καὶ ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ Ἰούδας, εἷς τῶν ιβ', λαβὼν τὴν σπεῖραν καὶ ἐκ τῶν ἀρχιερέων καὶ Φαρισαίων ὑπηρέτας, ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων, καὶ ἦλθεν μετ' αὐτοῦ καὶ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ. ὁ δὲ παραδιδοὺς αὐτὸν ἔδωκεν αὐτοῖς σημεῖον λέγων· ὃν ἂν φιλήσω, αὐτός ἐστι· κρατήσατε αὐτόν. Ἰησοῦς οὖν ἴδως [εἰδὼς] πάντα τὰ ἐρχόμενα ἐπ' αὐτὸν, εἶπεν αὐτοῖς· τίνα ζητεῖτε; Ἀπεκρίθησαν αὐτῷ· Ἰησοῦν τὸν Ναζωραῖον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· ἐγώ εἰμι. ἱστήκη [Εἱστήκει] δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν μετ' αὐτοῖς. Ὡς οὖν εἶπεν αὐτοῖς ὅτι ἐγώ εἰμι, ἀπῆλθον εἰς τὸ ὀπίσω καὶ ἔπεσον χαμαί. καὶ πάλιν ὁ Ἰησοῦς ἐπηρώτησεν· τίνα ζητεῖτε; εἰ [οἱ] δὲ εἶπον· Ἰησοῦν τὸν Ναζωραῖον. Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν· ὅτι ἐγώ εἰμι ὃν ζητεῖτε, καὶ ἄφετε τούτους ὑπάγειν· ἵνα πληρωθεῖ [πληρωθῇ] ὁ λόγος ὃν εἶπεν ὅτι οὓς δέδωκάς μοι, οὐκ ἀπόλεσα [ἀπώλεσα] ἐξ αὐτῶν οὐδένα. καὶ εὐθέως ὁ Ἰούδας προσελθὼν τῷ Ἰησοῦ εἶπεν· χαῖρε ῥαμβή (sic), καὶ κατεφίλησεν αὐτῶ [αὐτόν]. Ὁ

[1] Sic. Aliqua post *συνῆλθεν* omissa sunt. — D. Post *παραδιδοὺς* omissum est *αὐτόν*; cf. Joh. xviii. 2. — A.

δὲ Ἰησοῦς εἶπεν αὐτῷ· ἑτέραι [ἑταῖρε], ἐφ' ᾧ πάρει; Τότε προσελθόντες ἐπεβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν καὶ ἐκράτησαν αὐτόν. Τότε εἷς. τῶν μαθητῶν Σίμων Πέτρος ἐκτείνας τὰς χεῖρας, ἀπεσπασεν τὴν μάχαιραν αὐτοῦ, καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως, ἄφιλεν [ἀφεῖλεν] αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν· ἦν δὲ τὸ ὄνομα τῷ δούλῳ ἐκείνῳ Μάλχῳ· καὶ εὐθυς ὁ Ἰησοῦς εἶπεν αὐτοῦ τῶν μαθητῶν (*sic*)· ἐᾶται [ἐᾶτε] ἕως τούτου· καὶ ἀψάμενος τοῦ ὠτίου αὐτοῦ, ἰάσατο αὐτὸν, τῷ δὲ Πέτρῳ λέγει· ἀπόστρεψόν σου τὴν μάχαιραν εἰς τὸν τόπον αὐτῆς· πάντες οἱ λαβόντες μάχαιραν ἐν μαχαίρᾳ ἀποθανοῦνται· εἰ [ἢ?] δοκῆς [δοκεῖς] ὅτι οὐ δύναμαι παρακαλέσαι τὸν πατέρα μου, καὶ παραστήσῃ [-σει] μοι πλείους ἢ δώδεκα λεγεώνας ἀγγέλων, πῶς οὖν πληρωθῶσιν αἱ γραφαὶ τῶν προφητῶν, ὅτι οὗτος [οὕτως] δεῖ γενέσθαι; Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις· ὡς ἐπὶ λῃστῇ ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με· καθ' ἡμέραν πρὸς ὑμᾶς ἐκαθεζόμην διδάσκων ἐν τῷ ἱερῷ, καὶ οὐκ ἐκρατήσατέ με. ἰδοὺ αὕτη ἐστὶν ἡ ὥρα ὑμῶν τῶν ἐσκοτεισμένων [ἐσκοτισμένων].

Τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν προφητῶν. Ἱερεμίας ὁ προφήτης εἶπεν· δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ, καὶ ἐκστρέψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων. καὶ τὸ ὄνομα αὐτοῦ οὐ μὴ μνησθῇ ἔτει [ἔτι]· κύριε * τῶν δυνάμεων, κρίναι [κρῖναι ? κρῖνε] δίκαια. Ζαχαρίας ὁ προφήτης εἶπεν· τὸν νότον [νῶτον] μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγῶνας [σιαγόνας] μου εἰς ῥαπίσματα· τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων· καὶ κύριος ἐγεννήθη βοηθός μου. καὶ πάλιν ὁ αὐτὸς εἶπεν· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἄκακος ἐναντίων [ἐναντίον] τοῦ κήραντος [κείραντος] αὐτὸν, οὕτως ἄφωνος οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθει [ἤρθη]· τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.

Τότε οἱ μαθηταὶ πάντες ἀφέντες αὐτὸν ἔφυγον.

Εἰ[1] οὖν ὁ χιλίαρχος καὶ οἱ ὑπηρέται τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν, καὶ ἔδησαν αὐτὸν, καὶ ἀνήγαγον αὐτὸν πρὸς Αννα (*sic*) πρῶτον· ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου· ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις, ὅτι συμφέρει ἕνα ἀπολέσθαι ὑπὲρ τοῦ λαοῦ. Ὁ οὖν ἀρχιερεὺς ἠρώτησεν τὸν Ἰησοῦν

περὶ τῶν μαθητῶν αὐτοῦ, καὶ περὶ τῆς διδαχῆς αὐτοῦ, λέγων· ποῦ οἱ μαθηταί σου οἱ καυχόμενοι [καυχώμενοι] συναποθνήσκειν σοι; ποῦ οἱ παρὰ σοῦ ἰαθέντες; πῶς οὐχ εὑρέθη τις βοηθήσε [βοηθήσας? βοηθῆσαι?] σοι;

Ὁ δὲ Ἰησοῦς εἶπεν· ἐγὼ παρρησίᾳ ἐλάλησα τῷ κόσμῳ, ἐγὼ πάντα ἐδίδαξα ἐν συναγωγῇ, ὅπου Ἰουδαῖοι συνήρχοντο, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν. τί με ἐπερωτᾷς; ἐπερώτησον τοὺς ἀκηκοότας, τί ἐλάλησα αὐτοῖς, καὶ οὗτοι οἴδασιν ἃ εἶπον ὑμῖν. Ταῦτα αὐτοῦ εἰπόντος, εἷς τῶν ὑπηρετῶν παρεστηκὼς ἔδωκεν ῥάπισμα τῷ Ἰησοῦ, εἰπών· οὗτος[2] ἀποκρίνει [ἀποκρίνῃ] τῷ ἀρχιερεῖ; ὁ δὲ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν· ἐὰν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· ἡ [εἰ] δὲ καλῶς, τί με δέρης [δέρεις]: Καὶ οὗτος ἐστὶν ὁ Μάλχος, ἐκεῖνος ὃν [οὗ?] ὁ Πέτρος ἄφιλεν [ἀφεῖλεν] τὸ ὠτίον αὐτοῦ τὸ δεξιὸν ἐν τῷ κύπῳ [κήπῳ], καὶ ὁ Ἰησοῦς ἰάσατο αὐτόν· διὰ τοῦτο αὐτὸς ἐράπησεν [ἐράπισεν] τὸν Ἰησοῦν ἀντὶ τοῦ πληρώματος τῆς ἰατρικῆς αὐτοῦ.

Τότε ἀπήγαγον αὐτὸν πρὸς Καϊάφαν τὸν ἀρχιερέα, ὅπου οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι συνήχθησαν· ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν ἕως τῆς αὐλῆς

---

[1] Pro ἡ οὖν [σπεῖρα καὶ] quæ omissa. — D.

[2] οὕτως. — H.

τοῦ ἀρχιερέως· εἰσῆλθε δὲ ἔσω μετὰ τῶν ὑπηρετῶν ἰδεῖν τὸ τέλος.

Οἱ δὲ ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον ἐζήτουν ψευδομαρτυρίαν, θανατῶσαι αὐτὸν, καὶ οὐχ εὗρον. Τότε ἦλθον δύο ψευδομάρτυρες [καὶ] εἶπον· οὗτος εἶπεν· δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ Θεοῦ, καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν. εἴρεσεν (*sic*) δὲ τοῦτο διὰ τοῦ στόματος (*sic*)[1] τὴν ἀνάστασιν. Καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· οὐδὲν ἀποκρίνῃ τοι (*sic*) οὗτοί σου καταμαρτυροῦσιν; Ὁ δὲ Ἰησοῦς ἐσιώπα. καὶ ἀποκριθεὶς πάλιν ἀρχιερεὺς εἶπεν αὐτῷ· ἐξωρκίζω [ἐξορκίζω] σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος ἵνα ἢ μὴν[2] εἴπῃς· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ; Λέγει αὐτῷ· σὺ εἶπας· πλὴν λέγω σοι· ἀπάρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιὸν [δεξιῶν] τῆς δυνάμεως καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Τότε ἀρχιερεὺς (*sic, sine* ὁ) διέρρηξε τὰ ἱμάτια αὐτοῦ λέγων· ὅτι ἐβλασφήμωσεν [ἐβλασφήμησεν]· τί ἔτι χρείαν ἔχωμεν [ἔχομεν] μαρτύρων; Οἱ δὲ ἀποκριθέντες εἶπον· ἔνοχος θανάτου ἐστίν. Τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ ἐκολάφησαν [ἐκολάφισαν] αὐτὸν, καὶ ἐρράπιζον αὐτὸν λέγοντες· προφήτευσον ἡμῖν, Χριστὲ, τίς ἐστιν ὁ παίσας σε.

Ὁ δὲ Πέτρος ἔξω ἐκάθητο ἐν τῇ αὐλῇ, καὶ ἐθερμένετο [ἐθερμαίνετο] ἐν τῇ ἀνθρακίᾳ, διότι ψῦχος ἦν. καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη λέγουσα· καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου. Ὁ δὲ ἠρνήσατο λέγων· οὐκ οἶδα τί λέγεις. Ἐκ δευτέρου ἦλθεν ἄλλη καὶ λέγει τοῖς ὑπηρέταις· ἐκεῖ καὶ οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου. Καὶ πάλιν ἠρνήσατο μεθ' ὅρκου· οὐκ οἶδα τὸν ἄνθρωπον. Καὶ μετὰ μικρὸν ἦλθεν εἷς τῶν δούλων τοῦ ἀρχιερέως, συγκαινῆς [συγγενὴς] οὗ ἀπέκοψεν Πέτρος τὸ ὠτίον αὐτοῦ, καὶ λέγει· οὐκ ἐγώ σε εἶδον ἐν τῷ κύπῳ [κήπῳ] μετ' αὐτοῦ; εἰπὲ ἀληθῶς, καὶ σὺ ἐξ αὐτοῦ εἶ; καὶ γὰρ ἡ λαλιά σου δῆλον σε ποιεῖ. Τότε ἤρξατο καταναθεματίζειν καὶ ὀμνύειν ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. Καὶ εὐθέως ἀλέκτωρ ἐφώνησε· καὶ ἐμνήσθη εὐθὺς ὁ Πέτρος τοῦ ῥήματος Ἰησοῦ, εἰρηκότος αὐτοῦ·[3] ὅτι πρὶν ἀλέκτορ [ἀλέκτορα] φωνῆσαι * τρεῖς ἀπαρνήσειμαι [τρὶς ἀπαρνήσῃ με]. Καὶ ἐξελθὼν ἔξω, ἔκλαυσεν πικρῶς.

Τότε ἄγουσιν τὸν Ἰησοῦν ἐπὶ ἡγεμόνα τὸν Πιλάτον· ἦν δὲ παρασκευὴ πρωΐ.

Καὶ ἰδὼν ὁ Ἰούδας — ὅτι καὶ — πῶς ἤγαγον τὸν Ἰησοῦν ἐνώπιον τοῦ Πιλάτου, ἐν τρόμῳ καὶ δηλίᾳ [δειλίᾳ] ἐκατεκρίθη (sic) διὰ τῆς αἰσχρᾶς ἐπιβουλίας αὐτοῦ· καὶ τῇ αὐτοῦ ἀπογνώσει μεταμεληθεὶς βουλόμενος ἀποστρέψαι τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσιν καὶ τοῖς πρεσβυτέροις τῶν Ἰουδαίων · καὶ γνοὺς (sic) [γνόντες] αὐτὸν, οἱ κακοῦργοι καὶ οἱ κατήγοροι τὸ ὅπερ βούλεται ὁ Ἰούδας ποιῆσαι, λέγουν [λέγουσιν] κατ' αὐτοῦ ὁμοφώνως, ἅμα καὶ ὁ λαὸς αὐτὸν καὶ μόνον ἐκατηγόρουν καὶ ὕβριζον· καὶ ἐπάνω αὐτοῦ τὴν αἰτίαν ἐτίθησαν[4]

τῆς σταυρώσεως·[5] καὶ κατεβόουν (sic) αὐτοῦ πάντες καὶ ἔλεγον· ὁ προδότης, ὁ παράνομος, ὁ ἄπιστος, ὁ ἀχάριστος, ὁ τὸν διδάσκαλον αὐτοῦ φονεύσας, ὁ παρ' αὐτοῦ τοὺς πόδας νιπτόμενος, ὁ τὸ βαλάντιον αὐτοῦ κατέχων, καὶ ὅσα θέλων (sic) διδοὺς ἐξ αὐτοῦ, καὶ ὅσα θέλων ἀποκρυπτόμενος.

ἐφ' ἧς[6] οὗτος ἀγανακτῶν καὶ μὴ δυνάμενος τοὺς ὀνειδισμοὺς ὑπομεῖναι καὶ ταῖς

---

[1] σώματος. — H. [2] ἡμῖν. — H. [3] αὐτῷ. — H.

[4] Horum de Juda pars certe posterius illata videtur, ob sermonis manifestam imparilitatem. — D.

[5] No crucifixion or condemnation to it had yet taken place, — a fact overlooked by the interpolator of these five lines. — H.

[6] οἷς. — D. Or ἧς may refer to *αἰτίαν*, preceding the interpolation. — H.

ἀκοαῖς, καὶ τοσοῦτον ὑπὸ πάντων κατακρινόμενος καὶ ὑβριζόμενος, παραγενόμενος ἐν τῷ ναῷ, καὶ εὑρὼν τοὺς ἀρχιερεῖς καὶ τοὺς γραμματεῖς καὶ τοὺς Φαρισαίους, εἶπεν· γινώσκω ἀληθῶς, ὅτι κακῶς ἐποίησα· καὶ λάβετε τὰ ἀργύρια ἅ μοι δεδώκατε διὰ τὸ προδοῦναι τὸν Ἰησοῦν πρὸς φόνον ὑμῖν. ἥμαρτον γὰρ παραδοὺς αἷμα ἀθῷον. Οἱ δὲ εἶπον· τί πρὸς ἡμᾶς; σὺ ὄψει. Μὴ θελόντων δὲ τῶν Ἰουδαίων δέξασθαι τὰ ἀργύρια, ῥίψας ταύτα μέσον αὐτῶν καὶ ἔφυγε.

καὶ ἀπελθὼν εἰς τὸν οἶκον αὐτοῦ, ποιῆσαι (*sic*) ἀγχόνην διὰ σχοινίου τοῦ κρεμασθῆναι, καὶ εὗρεν τὴν γυναῖκα αὐτοῦ καθημένην καὶ πυρεάζειν (*sic*) ἀλέκτωραν (*sic*) ἐν τῇ ἀνθρακίᾳ ἔστω (*sic*; ἐς τὸ?) ἐν τῇ σοῦβλα (*sic*),[1] πρὸς τοῦ (*sic*; πρὸ τοῦ?) γεύσασθαι αὐτὸν, καὶ λέγει αὐτῇ· ἀνάστα, γύναι, οἰκονόμησόν μοι σχοινίον, ὅτι βούλομαι κρεμασθῆναι,[2] ὡς κ . . . τ'. ἡ δὲ γυνὴ αὐτοῦ ἔφη αὐτῷ·[3] τί ἄρα λέγεις ταῦτα τὰ ῥήματα; Καὶ ὁ Ἰούδας λέγει αὐτῇ· γίνωσκε ἐν ἀληθείᾳ, ὅτι ἀδίκως παρέδωκα τὸν διδάσκαλόν μου Ἰησοῦν τοῖς κακούργοις (*sic*) πρὸς τὸν Πιλάτον τοῦ θανατῶσαι αὐτόν· αὐτὸς δὲ μέλλει ἀναστήσεται (*sic*) τῇ τρίτῃ ἡμέρᾳ· καὶ οὐαὶ ἡμῖν. Καὶ ἡ γυνὴ αὐτοῦ εἶπεν αὐτῷ· μὴ λέγειν (*sic*) μηδὲ νομήσας (*sic*)[4] οὕτως, ὅτι ὥσπερ οὗτος ὁ ἀλέκτωρ πυριαζόμενος ἐν τῇ ἀνθρακίᾳ φωνῆσαι δύναται, οὕτως καὶ ὁ Ἰησοῦς ἀναστήσεται ὥσπερ λέγεις. καὶ εὐθὺς ἐν τῷ λογῷ αὐτῆς ὁ ἀλέκτωρ ἐκεῖνος ἔδωκεν (*sic*) τὰς πτέρυγας αὐτοῦ, καὶ ἔκραξεν τρίτον. Εἶτα πισθεὶς [πεισθεὶς] ὁ Ἰούδας ἔτι πλεῖον, καὶ εὐθὺς ἐποίησεν τὴν ἀγχόνην διὰ σχοινίου

καὶ ἐκρεμάσθη, καὶ οὕτως ἀπήγξατο. Οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια εἶπον· οὐκ ἔξεστιν βαλεῖν αὐτὰ εἰς τὸν κορβανά, ὅτι ἐπὶ τιμῇ αἵματός ἐστιν. Συμβούλιόν τε λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις· διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος ἕως τῆς σήμερον. Τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ προφήτου λέγοντος· καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμάσαντο[5] ἀπὸ τῶν υἱῶν Ἰσραήλ· καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι κύριος.[6]

[§ 4.] Ἐρχομένου δὲ τοῦ Ἰησοῦ πρὸς τὸν ἡγεμόνα Πιλάτον

προσεκύνουν αὐτὸν οἱ στρατιῶται τοῦ Πιλάτου·

ἵσταντο καὶ ἄλλοι ἔμπροσθεν τοῦ Πιλάτου κατέχοντες σημαίας, ἔκλιναν [ἑαυτὰς] καὶ αἱ σημαῖαι, καὶ προσεκύνουν τὸν Ἰησοῦν. Θαυμάζοντος οὖν ἐπὶ τῷ γεγονότι τοῦ

---

[1] In margine in rubrica scriptum: ἔκραξεν ἀλέκτωρ ἐψιμένος [ἐψημένος]. — D.

[2] κ (ut videtur) . . .' τ'. (locus prorsus abrasus 4 vel 5 literarum). — D. Codex Venetus legit ὡς ἦν ἄξιος. Vide Thilonem, Cod. Apoc., p. cxxix. — A.

[3] Between αὐτῷ· and τί the word λέγων is written, and erased. — H.

[4] Legendum νομίσαι, nisi potius λέγε et νομίσῃς. — A.

[5] Vel ἐτιμώσαντο ductu ancipiti. — D.

[6] In loco detrito ϖ solum conspicitur. — D.

Πιλάτου εἶπον οἱ Ἰουδαῖοι πρὸς αὐτόν· κύριε, οὐχὶ τὰ σημεῖα προσεκύνησαν τὸν Ἰησοῦν, ἀλλ' οἱ στρατιῶται οἱ ταῦτα κατέχοντες ἀμελῶς. Λέγει ὁ Πιλάτος τῷ ἀρχισυναγώγῳ· Ἔκλεξαι ἄνδρας δυνατοὺς δώδεκα, ὥστε κατέχειν αὐτὰ ἰσχυρῶς. Καὶ τούτου γενομένου ἐκέλευσεν ὁ Πιλάτος τῷ ὑπηρέτῃ ἐκβαλεῖν ἔξω τὸν Ἰησοῦν καὶ πάλιν εἰσαγαγεῖν αὐτόν. Εἰσερχομένου δὲ αὐτοῦ, πάλιν ἔκλιναν τὰ σημεῖα καὶ προσεκύνησαν αὐτόν.

Ἐθαύμασεν οὖν μεγάλως ὁ Πιλάτος. Οἱ δὲ Ἰουδαῖοι εἶπον· Μάγος ἐστὶ καὶ διὰ τοῦτο ποιεῖ αὐτά [ταῦτα].

[§ 5.][1] *Λέγει ὁ Πιλάτος τῷ Ἰησοῦ· Ἀκούεις, τί οὗτοί σου καταμαρτυροῦσι, καὶ οὐκ ἀποκρίνει [ἀποκρίνῃ]; Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ λέγει· Πᾶς ἄνθρωπος ἐξουσίαν ἔχει τοῦ λαλεῖν ἃ θέλει, εἴτε καλὸν θέλει εἴτε κακόν· ἔχοντες οὖν καὶ αὐτοὶ ἐξουσίαν ἃ θέλουσι λέγειν.*

[§ 6.] *Εἶπον οἱ Ἰουδαῖοι πρὸς αὐτόν· Τί ἔχωμεν [ἔχομεν] λέγειν περὶ σοῦ; πρῶτον, ὅτι ἐξ ἁμαρτίας εἶ γεγεννημένος· δεύτερον, ὅτι διὰ σέ, ὅτε ἐγεννήθης, ἐφονεύθησαν τεσσαράκοντα τέσσαρες χιλιάδες βρέφη· τρίτον, ὅτι ὁ πατήρ σου καὶ ἡ μήτηρ σου ἔφυγον εἰς Αἴγυπτον, διὸ οὐδὲν εἶχον θάρρος εἰς τὸν λαόν. Ἐπὶ τούτοις ἀπεκρίθησαν οἱ Ἰουδαῖοι — οἱ παρόντες ἐκεῖσε θεοσεβεῖς ἄνθρωποι — καὶ εἶπον· Ἡμεῖς λέγομεν, ὅτι ἡ γέννησις αὐτοῦ ἐξ ἁμαρτίας οὐκ ἔστιν· οἴδαμεν γάρ, ὅτι τὴν μητέρα αὐτοῦ Μαριὰν ὁ Ἰωσὴφ κατὰ λόγον μνηστείας ἐδέξατο ταύτην εἰς τήρησιν. Εἶπεν ὁ Πιλάτος· Λοιπὸν ψεύδεσθε ὑμεῖς οἱ λέγοντες, ὅτι ἐξ ἁμαρτίας ἐστὶν ἡ γέννησις αὐτοῦ.*

Λέγουσιν αὐτοὶ πάλιν τῷ Πιλάτῳ· Ὁ λαὸς ὅλος μαρτυρεῖ, ὅτι μάγος ἐστίν. Ἀπεκρίθησαν — οἱ θεοσεβεῖς — οἱ Ἰουδαῖοι καὶ εἶπον· Ἡμεῖς

καὶ εἰς τὴν μνηστείαν τῆς μητρὸς αὐτοῦ ἤμεθα, καὶ Ἰουδαῖοί ἐσμεν, καὶ

πᾶσαν τὴν πολιτείαν αὐτοῦ οἴδαμεν, ἀλλὰ μάγον τοῦτον εἶναι οὐκ οἴδαμεν.

Οἱ δὲ ταῦτα λέγοντες θεοσεβεῖς ἦσαν οὗτοι· Λάζαρος, Ἀσθάριος, Ἀντώνιος, Ἰάκωβος, Ζαρὰς, Σαμουὴλ, Ἰσαάκ, Φινεὲς, Κρίσπος, Δάγριπος [Δάγριππος], Εὐμεσσὲ καὶ Ἰούδας. Λέγει οὖν πρὸς αὐτοὺς ὁ Πιλάτος· Εἰς τὴν ζωὴν τοῦ Καίσαρος θέλω ἵνα ὀμόσητε, εἰ χωρὶς ἁμαρτίας ἐστὶν ἡ γέννη-

[1] The special subject of § 5, a message from Pilate's wife, is not found in Paris D. — H.

σις τοῦ ἀνθρώπου τούτου. Ἀπεκρίθησαν οὗτοι καὶ εἶπαν· Ὁ νόμος ἡμῶν ὁρίζει ἵνα μηδὲν ὀμνύωμεν, ὅτι μεγάλη ἁμαρτία ἐστὶν ὁ ὅρκος· πλὴν δὲ εἰς τὴν ζωὴν τοῦ Καίσαρος ὀμνύωμεν, ὅτι χωρὶς ἁμαρτίας ἐστὶν ἡ γέννησις αὐτοῦ· εἰ δὲ ψευδόμεθα, καρατομηθῆναι πάντας ἡμᾶς κέλευσον.

Ταῦτα τούτων εἰπόντων ἀπεκρίθησαν οἱ κατηγοροῦντες Ἰουδαῖοι πρὸς Πιλάτον καὶ εἶπον· Καὶ πλέον πιστεύεις τοῖς τοιούτοις δώδεκα μόνοις Ἰουδαίοις, ἢ παντὶ τῷ πλήθει καὶ ἡμῖν ἀκριβῶς εἰδόσιν αὐτὸν μάγον καὶ βλασφημοῦντα, καὶ υἱὸν θεοῦ ἑαυτὸν ὀνομάζοντα.

[§ 7.] *Τότε ἐκέλευσεν ὁ Πιλάτος πάντας ἐξελθεῖν ἐκ τοῦ πραιτωρίου ἄνευ μόνων τῶν ῥηθέντων δώδεκα· καὶ τούτου γενομένου λέγει πρὸς αὐτοὺς κρυφίως ὁ Πιλάτος· Τὸν ἄνθρωπον τοῦτον* — κατὰ τὸ φαινόμενον ἄρχοντες — *φένεταί [φαίνεταί] μοι, ὅτι ἀπὸ φθόνου καὶ μανίας θέλουσιν οἱ Ἰουδαῖοι ἵνα φονεύσωσιν αὐτόν· ἕνα [ἓν] γὰρ, διότι καταλύει τὰ σάββατα, κατηγοροῦσιν αὐτοῦ· αὐτὸς δὲ τότε ποιεῖ καλὸν ἔργον, διότι θεραπεύει τοὺς ἀσθενεῖς· τοῦτο καταδίκη θανάτου εἰς τὸν ἄνθρωπον οὐκ ἔστιν. Λέγουσιν αὐτῷ οἱ δώδεκα· Ναὶ, κύριέ μου, οὕτως ἔχει. Ἐξῆλθεν οὖν ὁ Πιλάτος ἔξω μετ' ὀργῆς καὶ θυμοῦ, καὶ λέγει πρὸς τὸν Ἄνναν καὶ τὸν Καϊάφαν καὶ πρὸς τὸν λαόν· καὶ εἶπεν τοῦ ὄχλου ὃν ἤφερον[1] τὸν Ἰησοῦν· Τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου; μάρτυρα ἔχω τὸν ἥλιον, ὅτι οὐδὲν πταῖσμα εὑρίσκω εἰς τοῦτον τὸν ἄνθρωπον.*

Ἀπεκρίθη ὁ ὄχλος καὶ εἶπεν· εἰ [μὴ ἦν[2]] οὗτος γόης καὶ μάγος καὶ βλάσφημος καὶ κακοποιὸς, οὐκ ἂν πρὸς τὸ μεγαλεῖον τὸ σὸν ἤγομεν αὐτὸν καὶ παρεδώκαμεν. Εἶπεν ὁ Πιλάτος· Ἐξετάσατε τοῦτον ὑμεῖς, καὶ ἐπεὶ νόμον ἔχετε, καθὼς λέγει ὁ νόμος ὑμῶν, οὕτως ποιήσατε. Εἶπον οἱ Ἰουδαῖοι· Ὁ νόμος ἡμῶν οὐδένα ἄνθρωπον παραχωρεῖ ἡμᾶς φονεῦσαι. Λέγει ὁ Πιλάτος· Εἰ ὑμεῖς φονεύειν οὐ βούλεσθε, πόσον [πόσῳ] μᾶλλον ἐγώ;

Τότε ἐστράφη ὁ Πιλάτος ἐν τῷ παλατίῳ, καὶ ἐφώνησε τὸν Ἰησοῦν καὶ

---

[1] ὃς ἔφερε. — T. Perhaps τοῖς ὄχλοις (or τῷ ὄχλῳ) οἳ ἔφερον. — H.

[2] Not in Codex. — H.

εἶπεν αὐτῷ· Εἰπέ μοι, σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς καὶ εἶπε· Σὺ τοῦτο λέγεις, ἢ ἄλλοι Ἰουδαῖοι εἶπον τοῦτο πρὸς σέ, ἵνα με ἐρωτήσῃς; Εἶπεν ὁ Πιλάτος· Καὶ μήτι ἐγὼ Ἑβραῖός εἰμι; ἐγὼ οὐκ εἰμὶ Ἑβραῖος· ὁ λαός σου δὲ καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε εἰς τὰς χεῖράς μου· καὶ εἰπέ μοι, εἰ βασιλεὺς εἶ τῶν Ἰουδαίων. Ἀπεκρίθη ὁ Ἰησοῦς· Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐν τῷ κόσμῳ τούτῳ, εἰ γὰρ ἦν ἡ ἐμὴ βασιλεία ἐν τούτῳ τῷ κόσμῳ, οἱ στρατιῶταί μου οὐκ ἂν ἔμελον (*sic*) ἀμελῆσαι κρατηθῆναί με· λοιπὸν ἡ βασιλεία μου οὐκ ἔστιν ἐν τῷ κόσμῳ τούτῳ. Λέγει ὁ Πιλάτος· Τὸ λοιπὸν βασιλεὺς εἶ; Εἶπεν ὁ Ἰησοῦς· Σὺ εἶπας· ἐγὼ εἰς τοῦτο ἐγεννήθην τοῦ μαρτυρεῖν τὴν ἀλήθειαν, καὶ εἴ τίς ἐστιν ἄνθρωπος τῆς ἀληθείας, πιστεύει τὸν λόγον μου καὶ ποιεῖ αὐτόν. Λέγει ὁ Πιλάτος· Τί ἐστιν ἀλήθεια;

Ἀπεκρίθη ὁ Χριστός· Ἡ ἀλήθειά ἐστιν ἐκ τῶν οὐρανῶν. Λέγει ὁ Πιλάτος· Ἐν τῇ γῇ δὲ οὐκ ἔστιν ἀλήθεια; Λέγει ὁ Χριστός· Ἐγώ εἰμι ἡ ἀλήθεια· καὶ πῶς ἐν τῇ γῇ κρίνεται ἡ ἀλήθεια παρὰ τῶν ἐχόντων γηΐνην ἐξουσίαν;

Ἀφεὶς οὖν ὁ Πιλάτος τὸν Χριστὸν μόνον ἐξῆλθεν ἔξω, καὶ λέγει τοῖς Ἰουδαίοις· Ἐγὼ οὐδὲν εὑρίσκω πταῖσμα ἐν τούτῳ τῷ ἀνθρώπῳ. Ἀπεκρίθησαν οἱ Ἰουδαῖοι· Ἡμεῖς ἵνα εἴπωμεν τῇ μεγαλειότητί σου, τί εἶπεν αὐτός· εἶπεν, ὅτι δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ θεοῦ καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν. Λέγει ὁ Πιλάτος· Καὶ ποῖον ναὸν εἶπεν α [ἵνα][1] καταλύσει [ἵνα καταλύσῃ]; Εἶπον οἱ Ἰουδαῖοι· Τὸν ναὸν τοῦ Σολομῶντος, ὃν ἔκτιζεν ὁ Σολομὼν ἐπὶ ἔτει [ἔτη] τεσσαράκοντα ἕξ. Λέγει ὁ Πιλάτος ἰδία[2] [ἰδίᾳ] πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς γραμματεῖς καὶ τοὺς Φαρισαίους· Παρακαλῶ ὑμᾶς, μηδὲν ποιήσετε [ποιήσατε] κακὸν εἰς τοῦτον τὸν ἄνθρωπον· ἐὰν γὰρ ποιήσητε εἰς τοῦτον κακόν, ἄδικα μέλλετε ποιήσειν· οὐ γάρ ἐστι δίκαιον ἀποθανεῖν τοιοῦτον ἄνθρωπον, ὅστις ἐποίησεν ἀγαθὰ μεγάλα πρὸς πολλοὺς ἀνθρώπους. Εἶπον ἐκεῖνοι πρὸς τὸν Πιλάτον· Εἰ ὁ ἀτιμάσας, κύριέ μου, τὸν Καίσαρα, ἄξιός ἐστι θανάτου, πόσῳ μᾶλλον οὗτος ὁ ἀτιμάζων τὸν θεόν; Τότε ὥρισεν ὁ Πιλάτος, καὶ ἐξῆλθον πάντες ἔξω. Εἶτα λέγει τῷ Ἰησοῦ· Τί θέλεις ποιήσω σοι; Λέγει ὁ Ἰησοῦς τῷ Πιλάτῳ· ποίησον εἰς ἐμέ, ὅπως ἐστὶν ὡρισμένον. Ἀπεκρίθη ὁ Ἰησοῦς· Ὁ Μωυσῆς καὶ οἱ προφῆται ἔγραψαν σταυρωθῆναί με καὶ ἀναστῆναι. Ἀκούσαντες ταῦτα οἱ Ἑβραῖοι εἶπον πρὸς τὸν Πιλάτον· Τί ζητεῖς ἀκοῦσαι μεγαλωτέραν ὕβριν ἐξ αὐτοῦ πρὸς τὸν θεόν; Λέγει ὁ Πιλάτος· Ὕβρεως λόγος οὗτος πρὸς τὸν θεὸν οὐκ ἔστιν· ἐπεὶ ἐν ταῖς προφητικαῖς βίβλοις γράφεται. Εἶπον οἱ Ἑβραῖοι· Ἡ ἡμετέρα γραφὴ λέγει· Ἐὰν πταίσῃ ἄνθρωπος πρὸς ἄνθρωπον, ἤγουν ἐὰν ὑβρίσῃ αὐτόν, ἄξιός ἐστιν, ἵνα

---

1 Ob εν scriba præteriit ιν, et improbabilis conjectura Thilonis. — D.

2 Recentior manus præposuit κατ'. — D.

λαμβάνῃ μετὰ ῥάβδου πληγὰς τεσσαράκοντα· ἐὰν δὲ ὑβρίσῃ τις τὸν θεὸν, ἵνα λιθοβολῆται.

Τότε ἦλθε μηνυτὴς ἀπὸ τῆς Πρόκλης τῆς γυναικὸς τοῦ Πιλάτου πρὸς αὐτὸν, τὸ δὲ μήνυμα ἔλεγεν· Ὅτι πρόσεχε, μὴ συγκαταβῇς ἵνα γένηταί τι κακὸν εἰς τὸν Ἰησοῦν, τὸν καλὸν ἄνθρωπον. Ὅτι κατὰ τὴν νύκτα φοβεροὺς ὀνείρους εἶδον δι' αὐτόν.

Ἔδωκε δὲ ἀπολογίαν ὁ Πιλάτος πρὸς τοὺς Ἑβραίους· Ἰδοὺ, ἐὰν ἔχετε (*sic*), ὅτι ὕβρις ἐστὶ πρὸς τὸν θεὸν, τὸν λόγον ὃν λέγετε ὅτι εἶπεν ὁ Ἰησοῦς, λάβετε αὐτὸν καὶ κρίνατε ὑμεῖς κατὰ τὸν νόμον ὑμῶν.

Εἶπον οἱ Ἰουδαῖοι τῷ Πιλάτῳ· Ἡμεῖς θέλομεν ἵνα σταυρώσωμεν [σταυρώσῃς] αὐτόν. Στραφεὶς δὲ ὁ Πιλάτος πρὸς τὸν λαὸν εἶδε πολλοὺς κλαίοντας καὶ εἶπεν· Ἐμοὶ δοκεῖ οὐκ ἔστι τοῦ λαοῦ πάντος θέλημα τὸν ἄνθρωπον τοῦτον ἀποθανεῖν.

Λέγουσιν οἱ ἱερεῖς καὶ οἱ γραμματεῖς· Ἡμεῖς διὰ τοῦτο τὸν λαὸν ἅπαντα ἠγάγομεν, ἵνα λάβῃς πληροφορίαν, ὅτι πάντες τὸν θάνατον αὐτοῦ θέλουσιν. Λέγει ὁ Πιλάτος· Τί γὰρ κακὸν ἐποίησεν; Εἶπον οἱ Ἑβραῖοι· Βασιλέα ἑαυτὸν εἶναι λέγει καὶ υἱὸν θεοῦ.

[§ 8.] Ἰουδαῖος οὖν — θεοσεβὴς — μέσον σταθεὶς, ὀνόματι Νικόδημος, εἶπε πρὸς τὸν Πιλάτον· Δέομαι τῆς μεγαλειότητός σου, ἔασαί με εἰπεῖν πρὸς σὲ ὀλίγα τινὰ ῥήματα. Ἔφη ὁ Πιλάτος· Εἰπέ. Λέγει ὁ Νικόδημος· Ἐγὼ εἶπα τοῖς ἱερεῦσι καὶ τοῖς Λευΐταις καὶ τοῖς γραμματεῦσι καὶ τῷ λαῷ παρὼν ἐν τῇ συναγωγῇ· Τίνα λόγον ἔχετε κατὰ τοῦ ἀνθρώπου τούτου; οὗτος ὁ ἄνθρωπος πολλὰ θαύματα ποιεῖ, οἷα ἄνθρωπός ποτε οὐκ ἐποίησεν οὐδὲ μὴ ποιήσει. Ἄφετε οὖν αὐτόν· καὶ εἰ μὲν ἐστὶν ἀπὸ θεοῦ ὅσα ποιεῖ, ἵστασθαι μέλλουσιν, εἰ δὲ ἔστιν ἀπὸ ἀνθρώπων, καταλυθῆναι μέλλουσιν.

Καθὼς ἐγένετο καὶ ὅταν ἀπέστειλεν ὁ θεὸς τὸν Μωυσῆν εἰς τὴν Αἴγυπτον, καὶ εἶπε πρὸς αὐτὸν ὁ Φαραὼ βασιλεὺς Αἰγύπτου ἵνα ποιήσῃ σημεῖον, καὶ ἐποίησεν. Εἶτα εἶχεν ὁ Φαραὼ καὶ μάγους δύω, τὸν Ἰανῆν [Ἰαννῆν] καὶ

'Ιαμβρῆν· καὶ ἐποίησαν καὶ αὐτοὶ σημεῖα μαγικῇ τέχνῃ χρώμενοι, οὐχὶ δὲ ὅσα ἐποίησεν ὁ Μωυσῆς· εἶχον δὲ οἱ Αἰγύπτιοι τοὺς τοιούτους μάγους ὡς θεούς· διότι δὲ οὐκ ἦσαν ἐκεῖνοι ἐκ θεοῦ, κατελύθησαν οἷα ἐποίησαν.

Οὗτος οὖν ὁ 'Ιησοῦς τὸν Λάζαρον ἀνέστησε, καὶ ζῇ. Διὰ τοῦτο δέομαί σου, κύριέ μου, ἵνα μηδὲν παραχωρήσῃς φονευθῆναι τὸν τοιοῦτον ἰατρὸν καὶ ζωοτρόφον. 'Εθυμώθησαν οἱ 'Εβραῖοι κατὰ τοῦ Νικοδήμου, καὶ εἶπον αὐτῷ· Τὴν ἀλήθειαν τοῦ 'Ιησοῦ ἵνα παραλάβῃς καὶ μέρος ἵνα ἔχῃς μετ' αὐτοῦ. Λέγει ὁ Νικόδημος· 'Αμὴν, ἀμὴν, ἀμήν· γένοιτο μοι, καθὼς λέγετε.

[§ 9.] *Ταῦτα εἰπόντος τοῦ Νικοδήμου ἕτερος ἐγερθεὶς 'Εβραῖος λέγει τῷ Πιλάτῳ· Δέομαί σου, κύριε Πιλάτε, ἄκουσον κἀμοῦ. 'Εγὼ ἐκείμην ἀσθενῶν ἐπὶ κλίνης ἔτη τριάκοντα ὀκτὼ, καὶ ἰδών με ἐλυπήθη, καὶ εἶπέ μοι· 'Εγείρου, ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. Καὶ ἐν τῷ εἰπεῖν μοι τὸν λόγον ἠγέρθην καὶ περιεπάτουν. Λέγουσιν οἱ 'Ιουδαῖοι· 'Ερωτήσατε αὐτὸν, ἐν ποίᾳ ἡμέρᾳ τῆς ἑβδομάδος τοῦτο ἐγένετο.* ἆρας καὶ τὸ κλινίδιόν σου, *λέγει ἐκεῖνος· 'Εν σαββάτῳ. Εἶπον οἱ 'Ιουδαῖοι· Καὶ λοιπὸν ἀληθῶς ἡμεῖς λέγομεν, ὅτι τὸ σάββατον οὐ τηρεῖ. ῞Ετερος πάλιν σταθεὶς ἐν μέσῳ εἶπεν· 'Εγὼ ἐγεννήθην τυφλός· καὶ πορευομένου τοῦ 'Ιησοῦ κατὰ τὴν ὁδὸν ἐβόησα πρὸς αὐτὸν λέγων· ἐλέησόν με, κύριε, υἱὲ Δαυΐδ. Καὶ λαβὼν πηλὸν ἔχρισέ μου τοὺς ὀφθαλμοὺς, καὶ εὐθὺς ἀνέβλεψα. ῞Ετερος εἶπε· Κυλλὸς ἤμην, καὶ ἰδὼν αὐτὸν ἐβόησα· ἐλέησόν με, κύριε. Καὶ λαβόμενός* (sic) *με τῆς χειρὸς, εὐθὺς ἠγέρθην. ῎Αλλος εἶπεν· 'Εγὼ λεπρὸς ἦν, καὶ ἰάσατό με μόνον διὰ λόγου. Εὑρέθη ἐκεῖ καὶ γυνὴ ὀνομαζομένη Βερονίκη, καὶ εἶπεν· ῞Οτι δώδεκα ἦν ἔτη ἐγὼ ἐν ῥύσει αἵματος, καὶ μόνον τοῦ ἱματίου αὐτοῦ τῆς ἄκρας ἡψάμην, καὶ εὐθὺς ἰάθην. Λέγουσιν οἱ 'Ιουδαῖοι· Μαρτυρίαν γυναικὸς*

ὁ νόμος οὐ παραδέχεται. Ἄλλοι ἄνθρωποι ἐβόησαν· Οὗτος ὁ ἄνθρωπος προφήτης ἐστὶ, καὶ οἱ δαίμονες αὐτὸν φοβοῦνται. Λέγει ὁ Πιλάτος· Καὶ πῶς οὐδὲν ἐφοβοῦντο οὕτω καὶ τοὺς γονεῖς ὑμῶν τὰ δαιμόνια; Λέγουσιν ἐκεῖνοι· Οὐ γινώσκομεν. Ἄλλοι πάλιν εἶπον· Τὸν Λάζαρον τεταρταῖον ὄντα ἐν τῷ μνήματι καὶ διὰ λόγου μόνου ἀνέστησεν. Ἀκούσας οὖν ὁ Πιλάτος τὴν ἀνάστασιν τοῦ Λαζάρου ἐφοβήθη, καὶ λέγει πρὸς τὸν λαόν· Διὰ τί θέλετε, ἵνα χύσητε (*sic*) αἷμα δίκαιον [δικαίου?] ἀνθρώπου;

[§ 10.] Εἶτα προσεκαλέσατο τὸν Νικόδημον καὶ τοὺς δώδεκα — θεοσεβεῖς — Ἰουδαίους, καὶ εἶπε πρὸς αὐτούς· Τί λέγετε ἵνα ποιήσω, ὅτι ὁ λαὸς ταράσσεται; Λέγουσιν ἐκεῖνοι· Οὐ γινώσκομεν·

ὃ βούλει [βούλῃ], ποίησον· ὁ λαὸς δὲ ὅσον ποιεῖ, ἀδίκως ποιεῖ, ἵνα εὕρωσι τοῦτο.[1]

Ἐξῆλθε πάλιν ὁ Πιλάτος ἔξω καὶ λέγει πρὸς τὸν λαόν· Οἴδατε, ὅτι ἐν ταῖς ἑορταῖς τῶν ἀζύμων ἐστὶ σύνηθες, ἵνα ἐλευθερῶ δι᾽ ἡμᾶς [ὑμᾶς] ἕνα ἀπὸ τῶν κεκρατημένων εἰς φρουρὰν ὑπευθύνων· ἔχω οὖν ἐν τῇ φυλακῇ κακοῦργον λῃστὴν, λεγόμενον Βαραβᾶν, ἔχω καὶ τὸν Ἰησοῦν, ὅστις ποτὲ κακὸν οὐκ ἐποίησε· τίνα οὖν ἐκ τῶν δύο θέλετε ἵνα ἀπολύσω ὑμῖν; Ἀπεκρίθη ὁ λαός· Ἀπόλυσον ἡμῖν τὸν Βαραβᾶν. Λέγει ὁ Πιλάτος· Τί οὖν ποιήσω τὸν Ἰησοῦν; Λέγουσιν ἐκεῖνοι· Σταυρωθήτω. Πάλιν ἐβόησαν ἕτεροι ἐξ αὐτῶν· Ἐὰν τὸν Ἰησοῦν ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος, διότι υἱὸν θεοῦ ἑαυτὸν ὀνομάζει καὶ βασιλέα· καὶ ἐὰν ἐλευθερώσῃς αὐτὸν, γίνεται βασιλέας [βασιλεὺς, καὶ] μέλλει λαβεῖν τὴν βασιλείαν τοῦ Καίσαρος.

---

[1] Fort. ἵνα αἴρωσι τοῦτον. — T.

Ἐθυμώθη οὖν ὁ Πιλάτος καὶ εἶπε· Πάντοτε ἡ γενεὰ ὑμῶν ἦν διαβολικὴ καὶ ἄπιστος, καὶ ἀεὶ πρὸς τοὺς εὐεργέτας ὑμῶν ἦτε ἀντίδικοι. Εἶπον οἱ Ἑβραῖοι· Καὶ τίνες ἦσαν ἡμῶν εὐεργέται; Λέγει ὁ Πιλάτος· Ὁ θεὸς ὁ ἐλευθερώσας ὑμᾶς ἐκ τῶν χειρῶν Φαραώ, καὶ διαπεράσας ὑμᾶς τὴν ἐρυθρὰν θάλασσαν ὡς ἐπὶ ξηρᾶς, καὶ χορτάσας ὑμᾶς[1] ὕδωρ ἐκ πέτρας καὶ ὁ δοὺς ὑμῶν [ὑμῖν] νόμον, ὃν κατελύσατε τὸν θεὸν ἀρνησάμενοι· καὶ εἰ μὴ Μωϋσῆς ἐστάθη παρακαλῶν τὸν θεὸν, πικρῷ θανάτῳ ἂν ἐμέλλετε πάντες παραπολέσθαι. Πάντων οὖν ἐκείνων ἐπελάθεσθε. Οὕτω δὲ καὶ νῦν λέγετε,[2] οὐδὲν ἀγαπῶ ἐγὼ τὸν Καίσαρα, ἀλλ' ἔχω μῖσος εἰς αὐτὸν, καὶ θέλω ἵνα ἐπιβουλεύσομαι [ἐπιβουλεύσωμαι] κατὰ τῆς βασιλείας αὐτοῦ. Καὶ ταῦτα εἰπὼν ὁ Πιλάτος ἠγέρθη[3] τοῦ θρόνου μετὰ θυμοῦ, θέλων φυγεῖν ἐξ αὐτῶν. Ἔκραξαν οὖν οἱ Ἰουδαῖοι λέγοντες· Ἡμεῖς τὸν Καίσαρα θέλωμεν [θέλομεν] βασιλεύειν ἡμῶν, οὐ τὸν Ἰησοῦν, διότι ὁ Ἰησοῦς ἐκ τῶν μάγων ἐδέξατο χαρίσματα. Καὶ ἤκουσε τοῦτο καὶ ὁ Ἡρώδης, ὅτι βασιλεὺς μέλλει γενέσθαι, καὶ ἠθέλησεν ἵνα φονεύσῃ αὐτὸν, καὶ ἐν τούτῳ ἀπέστειλε καὶ ἀπέκτεινε πάντα τὰ βρέφη τὰ ἐν Βηθλεέμ. Διὰ τοῦτο δὲ καὶ ὁ Ἰωσὴφ ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ ἔφυγον ἀπὸ τοῦ φόβου αὐτῶν [αὐτῶν ?] εἰς τὴν Αἴγυπτον. Ἀκούσας τοιγαροῦν ὁ Πιλάτος τοὺς τοιούτους λόγους καὶ φοβηθεὶς κατεσίγησε πάντα τὸν λαὸν [καὶ λέγει]·[4] Λοιπὸν οὗτός ἐστιν ὁ Ἰησοῦς, ὃν ἐζήτει τότε ὁ Ἡρώδης φονεῦσαι; Λέγουσιν αὐτῷ· Ναί. Γνωρίσας οὖν ὁ Πιλάτος, ὅτι τῆς ἐπικρατείας ἐστὶ τοῦ Ἡρώδου, ὡς ἐκ τοῦ γένους καταγόμενος τῶν Ἰουδαίων, ἀπέστειλε τὸν Ἰησοῦν πρὸς αὐτόν. Καὶ ἰδὼν αὐτὸν ὁ Ἡρώδης ἐχάρη μεγάλως· ἦν γὰρ ἐπιθυμῶν ἰδεῖν αὐτὸν, ἀκούων τὰ θαύματα ἃ ἐποίει. Ἐνέδυσεν οὖν αὐτὸν ἱμάτια λευκὰ, εἶτα ἤρξατο αὐτὸν ἐρωτᾷν· Πόθεν εἶ καὶ ἐκ ποίου γένους; Ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. Θέλων δὲ ὁ Ἡρώδης ἰδεῖν καὶ θαῦμα τί ποτε γενόμενον παρὰ τοῦ Χριστοῦ, καὶ μὴ ἰδὼν, ἀλλ' ὅτι οὐδὲ ἀπεκρίνατο πρὸς αὐτὸν τὸν τυχόντα λόγον, ἀπέστειλεν αὐτὸν αὖθις πρὸς τὸν Πιλάτον. Ὁ δὲ λαὸς ἔκραζεν· Σταυρωθήτω.

Τοῦτο ἰδὼν ὁ Πιλάτος εἶπε τοῖς ὑπηρέταις αὐτοῦ ἀγαγεῖν ὕδωρ, καὶ οὗτοι ἔφερον. Νιπτόμενος οὖν τὰς χεῖρας μετὰ τοῦ ὕδατος ἔφη πρὸς τὸν λαόν· Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ καλοῦ τούτου ἀνθρώπου· ὑμεῖς ὄψεσθε, ὅτι ἀδίκως τοῦτον φονεύεται [φονεύετε],

---

[1] Some words not found in Codex D are here supplied by Thilo, probably from *Codex Venetus*: τὴν ὀρτυγομήτραν, ἐκ πέτρας ἀνίκμου ποτίσας τὸ ὕδωρ, καὶ ὁ δούς. — H.

[2] Thilo supplies ὅτι. — H.

[3] Thilo supplies ἀπὸ. — H.

[4] Omisit Codex. — D.

ἐπεὶ οὔτε ἐγὼ εὗρον ἐν αὐτῷ αἰτίαν, ἀλλ' οὔτε Ἡρώδης· διὰ τοῦτο γὰρ ἔπεμψεν αὖθις τοῦτον πρός με ὄπισθεν.

Εἶπον οἱ Ἰουδαῖοι· Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.

Οἱ δὲ ἀρχιερεῖς ἐθορυβοῦντο πρὸς τὸν λαόν, ἵνα αὐτὸν συντομότερον (*sic*) *ἀπολέσωσιν. Ὁ δὲ λαὸς αὖθις πρὸς τὸν Πιλάτον . . .*[1] *Τότε λέγει τῷ Ἰησοῦ ὁ Πιλάτος· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. Λέγει ὁ Πιλάτος· Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας, ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε; Εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς· Οὐκ ἔχεις καμίαν* (*sic*) *ἐξουσίαν κατ' ἐμοῦ, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν.*

[§ 11.] *Τότε ἐκάθισεν εἰς τὸν θρόνον αὐτοῦ ὁ Πιλάτος, ἵνα ποιήσῃ ἀπόφασιν κατὰ τοῦ Ἰησοῦ. Ὥρισεν οὖν καὶ ἦλθεν ἔμπροσθεν αὐτοῦ ὁ Ἰησοῦς.*

Καὶ ἔφερον στέφανον ἐξ ἀκανθῶν, καὶ ἔθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν χεῖρα.

Εἶτα ἐποίησε τὴν ἀπόφασιν, καὶ λέγει πρὸς αὐτόν· Ἡ γενεά σου λέγει καὶ μαρτυρεῖ σε, ὅτι θέλεις ἵνα βασιλεύσῃς· διὰ τοῦτο ὁρίζω, ἵνα

σὲ τύψωσι πρῶτον μετὰ ῥάβδου πληγὰς τεσσαράκοντα, καθὼς ὁρίζουσιν οἱ νόμοι τῶν βασιλέων, καὶ ἵνα σε ἐμπαίξωσι, καὶ τελευταῖον ἵνα

σε σταυρώσωσιν.

Τῆς τοιαύτης οὖν ἀποφάσεως γενομένης παρὰ τοῦ Πιλάτου, ἤρξαντο οἱ Ἰουδαῖοι τύπτειν τὸν Ἰησοῦν, οἱ μὲν ῥάβδοις, οἱ δὲ χερσίν, οἱ δὲ ποσίν, οἱ δὲ καὶ εἰς τὸ πρόσωπον αὐτοῦ ἔπτυον.

Εὐθὺς οὖν κατασκευάσαντες τὸν σταυρὸν ὑπήγοντο πρὸς τὸ σταυρῶσαι αὐτόν· καὶ δόντες τοῦτον πρὸς αὐτὸν ἐπέταντο ὁδεύειν.

Καὶ οὕτω πορευόμενος, βαστάζων καὶ τὸν σταυρόν, ἦλθε μέχρι τῆς πύλης τῆς πόλεως Ἱεροσολύμων. Ἀπὸ τῶν πολλῶν οὖν πληγῶν καὶ ἀπὸ τοῦ

---

[1] There must here be an omission in the Codex. — H.

βάρους τοῦ σταυροῦ μὴ δυνάμενον τοῦτον (*sic*) *περιπατεῖν, οὗτοι, ἐκ τῆς ἐπιθυμίας ἧς εἶχον οἱ* Ἰουδαῖοι *σταυρῶσαι αὐτὸν τάχος, ἄραντες ἀπ' αὐτοῦ τὸν σταυρὸν, καὶ ἔδωκαν αὐτὸν πρός τινα* Κυρηναῖον *συναντήσαντα αὐτοῖς, ὀνόματι* Σίμωνα, *ἐξερχομένου*[1] *ἀπ' ἀγροῦ, ὅστις εἶχε δύο υἱοὺς,* Ἀλέξανδρον *καὶ* Ῥοῦφον·—**ἦν δὲ ἀπὸ Κυρήνης τῆς πόλεως**·—*ἔδωκαν οὖν πρὸς αὐτὸν τὸν σταυρὸν, οὐχ ὡς ἐλεοῦντος* [*ἐλεοῦντες*] *τὸν* Ἰησοῦν *καὶ ἐλαφρύνοντες ἀπὸ τοῦ βάρους αὐτὸν, ἀλλ' ἐπιθυμοῦντες, ὡς εἴρηται, φονεῦσαι αὐτὸν συντομώτερον, ἐγκάρευσαν* [*ἠγγάρευσαν*] *αὐτὸν τὸν* Κυρηναῖον, *ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ.* Καὶ *φέρουσιν αὐτὸν ἐπὶ* Γολγοθᾶ *τόπον, ὅ ἐστι μεθερμηνευόμενον κρανίου τόπος.*

Ἠκολούθη [Ἠκολούθει] οὖν ἐκεῖ ἐκ τῶν μαθητῶν αὐτοῦ ὁ Ἰωάννης. εἶτα φυγὼν ὑπάγει πρὸς τὴν θεοτόκον, καὶ λέγει μετὰ δακρύων· ὦ κυρία μου καὶ μῆτερ τοῦ διδασκάλου μου, ποῦ ἦσθα καὶ οὐκ ἦλθες, ἵνα ἴδῃς τί ἐγένετο; Ἀπεκρίθη ἐκείνη· Τί ἐστιν ὅπερ ἐγένετο; Λέγει ὁ Ἰωάννης· γίνωσκε ὅτι ἐπίασαν οἱ Ἰουδαῖοι τὸν διδάσκαλόν μου, τὸν σὸν υἱόν· καὶ ὑπάγουσιν ἵνα σταυρώσωσιν αὐτόν. Καὶ ἀκούσασα τοῦτο ἡ θεοτόκος ἡ μήτηρ* αὐτοῦ, ἔκραξε μεγάλῃ τῇ φωνῇ, καὶ ἐβόα λέγουσα· Οἴμοι οἴμοι, υἱέ μου γλυκύτατε· τί ἄρα κακὸν ἐποίησας τοῖς Ἰουδαίοις; Καὶ ὑπάγουσίν σε πρὸς τὸ σταυρῶσαι. Ἐκαθέζετο καὶ ἠγέρθη ὥσπερ ἐσκοτισμένη, καὶ ἀπήρχετο κλαίουσα. Κατὰ τὴν ὁδὸν ἠκολούθουν αὐτῇ καὶ γυναῖκες, ἥ τε Μάρθα καὶ Μαρία ἡ Μαγδαληνὴ, καὶ ἡ Σαλώμη, καὶ ἕτεραι παρθένοι. ἦν δὲ καὶ Ἰωάννης μετ' αὐτῆς. Ὡς οὖν ἔφθασαν εἰς τὸ πλῆθος τοῦ ὄχλου, λέγει ἡ θεοτόκος πρὸς τὸν Ἰωάννην· ποῦ ἐστὶν ὁ υἱός μου; Λέγει ὁ Ἰωάννης· Ὁρᾷς ἐκεῖνον [τὸν φοροῦντα τὸν στέφανον] τὸν ἀκάνθινον καὶ τὰς χεῖρας δεδεμένον; Ἀκούσασα ἡ θεοτόκος τὰς χεῖρας δεδεμένον καὶ ἰδοῦσα αὐτὸν, ὀλιγοψύχισε [ὠλιγοψύχησε], καὶ ἔπεσεν ὄπισθεν χαμαὶ εἰς τὴν γῆν· καὶ ἔκειτο ἱκανὴν ὥραν. καὶ αἱ γυναῖκες ὅσαι ἠκολούθουν αὐτῇ, ἱστάμεναι γύρωθεν (*sic*) αὐτῆς καὶ ἔκλαιον. Ἀφ' οὗ δὲ καὶ ἀνέπνευσε καὶ ἠγέρθη, δραμοῦσα ὡς λαίενα [λέαινα] ὑπὸ [ἀπὸ] ἀγροῦ καὶ διαρρήξασα τὰ ἱμάτια αὐτῆς, οὐρανολόξως (*sic*) ὑπεβλέπετο τοῖς Ἰουδαίοις λέγουσα· δότε μοι, ἄνδρες, ὁδὸν περιπατῆσαι καὶ πέσαι (*sic*) πρὸς τὸ ἀρνίον μου· δότε μοι, ἄνδρες, τόπον, ὅπως κλαύσω τὸν υἱόν μου, τὸ ἀρνίον τῆς ψυχῆς μου, τὸ θυλαγγάλακτον [*sic*; an θηλογάλακτον?] τῶν μασθῶν μου. δότε μοι, ἄνδρες, τόπον, ὅπως θεορίσω [θεωρήσω] καὶ κλαύσω τὸν υἱόν μου. Καὶ τὸ στῆθος αὐτῆς τύπτουσα καὶ ἐβόα λέγουσα· Οἴμοι οἴμοι, γλυκύτατόν μου τέκνον, φῶς τῶν ὀμμάτων μου, πῶς ὑπομένω θεωρῶν σε ἐν τῷ σταυρῷ κρεμάμενον; Οἴμοι οἴμοι, δεῦτε πάντες κλαύσατε τὴν τετραυματισμένην μου ψυχήν· ὅτι τὸν μονογενῆ μου υἱὸν θεωρῶ ἐπὶ σταυροῦ ὑπλωμένον [ἡπλωμένον] καὶ μὴ λαλοῦντα πρός με. δεῦτε ἀκούσατε λαοὶ, φυλαὶ καὶ γλῶσσαι, τοιοῦτον θάνατον ἄδικον ἔδωκαν τοῦ υἱοῦ μου (*sic*). Καὶ πάλιν γεγωνοτέρα ἐβόησεν φωνὴν μεγάλην (*sic*) λέγουσα· υἱέ μου, υἱέ μου, ποῦ τὸ κάλλος ἔδυ τῆς μορφῆς σου; πῶς ἀγνώριστος φαίνῃ μοι; πῶς ὑπομείνω θεωρεῖν σε τοιαῦτα πάσχοντα; Καὶ ταῦτα λέγουσα ἔτυπτε τὸ στῆθος αὐτῆς, καὶ κατέξεναι [κατέξαινε] μετὰ τῶν ὀνύχων τὸ πρόσωπον αὐτῆς, καὶ βαρέως στενάζοντα [στενάζουσα] ἔλεγε· ποῦ ἐδιέβησαν (*sic*) τὰ ἀγαθὰ ὅσα ἐποίησας ἐν τῇ Ἰουδαίᾳ; Τί κακὸν πρὸς τοὺς Ἰουδαίους, υἱέ μου, ἐποίησας; ἀντὶ ἀγαθῶν κακὰ ἔλαβες· ἀντὶ τοῦ ἀγαπᾶν σε, υἱέ μου παμφίλτατε καὶ γλυκύτατε, τὸν ψόγον προσεφέρασιν [προσεφέροσαν?]. Οὕτως οὖν ἰδόντες αὐτὴν οἱ Ἰουδαῖοι θρηνοῦσαν καὶ κράζουσαν, ἦλθον καὶ ἐδίωκον αὐτὴν ἀπὸ τῆς ὁδοῦ· ἡ δὲ οὐκ ἐπίθετο [ἐπείθετο] φυγεῖν, ἀλλ' ἔμενε, καὶ ἐβόα λέγουσα· φονεύσατε ἐμὲ πρῶτον, Ἰουδαῖοι παράνομοι.

---

[1] ἐξερχόμενον.—T.

Τότε ἀπεσώθησαν[1] *εἰς τὸν λεγόμενον κρανίου τόπον, ὃς ἦν λιθόστρωτος, καὶ ἐκεῖ ἔστησαν οἱ Ἰουδαῖοι τὸν σταυρόν. Καὶ ἐξέδυσαν τὰ ἱμάτια αὐτοῦ, καὶ διεμερίσαντο ταῦτα οἱ στρατιῶται πρὸς ἑαυτοὺς καὶ ἐδίδουν αὐτῷ πιεῖν ἐσμυρνισμένον οἶνον· ὁ δὲ οὐκ ἔλαβεν.*

αὐτὸν δὲ ἐνέδυσαν χλαμύδα κοκκίνην· τουτέστιν ῥῶσον (*sic*) *κόκκινον· καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ ἐνέμπαιζον* [*ἐνέπαιζον*] *αὐτὸν λέγοντες· χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων. Καὶ ἐμπτύσαντες αὐτὸν, ἔλαβον τὸν κάλαμον καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. καὶ ὅτε ἐνέπαιξαν αὐτὸν, ἐξέδυσαν αὐτοῦ τὴν χλαμύδαν* (*sic*), *τουτέστιν τὸ ῥάσον* (*sic*) *· ὃ καλεῖται πορφύρα.*[2] *Καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια, καὶ ἐξάγουσιν αὐτὸν ἵνα σταυρωθῇ. Καὶ σταυρώσαντες αὐτὸν, διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον ἐπ' αὐτὰ, τίς τί ἄρει* [*ἀρεῖ*, D.; *ἄρῃ*? A.].[3]

ἦν δὲ ὥρα ϛʹ τῆς ἡμέρας.[4] *ἀνεβίβασαν ἐν τῷ σταυρῷ καὶ σταυρώσαντες αὐτὸν καὶ ἐκάρφωσαν.*

ἦν δὲ ἡ ἐπιγραφὴ τῆς Gίας[5] (*sic*) *αὐτοῦ γεγραμμένη ἐπ' αὐτῷ γράμμασιν ἑλληνικῆς* [*ἑλληνικοῖς*] *καὶ ῥωμαϊκῆς* [*ῥωμαϊκοῖς*] *καὶ ἑβραϊκῆς* [*ἑβραϊκοῖς*] *λέγων* (*sic*) *· οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων.*

Καὶ συσταυροῦσιν αὐτῷ δύο λῃσταῖς (*sic*),[6] *ἕνα ἐκ δεξιῶν καὶ ἕνα ἐξ εὐωνύμων.*

Καὶ οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτόν, κοινοῦντες [*κινοῦντες*] *τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες· Οὐᾶ, ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτὸν, καὶ κατάβηθι ἀπὸ τοῦ σταυροῦ. Ὁμοίως καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλήλους μετὰ τῶν γραμματέων ἔλεγον· ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι ὁ Χριστὸς ὁ υἱὸς τοῦ Ἰσραήλ· καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν αὐτῷ.*

---

[1] There must be an omission here. We might supply *οἱ μαθηταὶ αὐτοῦ, οἱ δὲ στρατιῶται ἀπήγαγον αὐτὸν* — H.

[2] Non recte igitur Thilo dixit hæc *paucis exceptis* cum [Cod.] Ven. consentire. — D.

[3] This paragraph, though out of place, must have been inserted before the time of Justin Martyr. Compare *Indirect Testimony*, Note A, foot-note 57. — H.

[4] The MS. has not *ὅτε*. — H.

[5] *αἰτίας*. — H.

[6] *λῃστάς*. — H.

Καὶ ταῦτα πάλιν ἀκούσας (*sic*) ἡ θεοτόκος, λυπουμένη καὶ ἐκ βάθου (*sic*) καρδίας, στριγκήσας (*sic*) μεγάλῃ τῇ φωνῇ μετὰ βαρέος στεναγμοῦ καὶ πικροτάτων δακρύων παραπονόντα (*sic*) ἔκραξεν πρὸς τὸν ἀρχάγγελον Γαβριὴλ λέγων· ὦ Γαβριὴλ ἀρχάγγελε, ποῦ εἶ (καὶ οὐκ ἔστιν ὧδε) ἵνα δικάσομαι μετὰ σοῦ; ταῦτα εἰσὶν ὅπερ (*sic*) ἔλεγές μοι ἐν τῷ εὐαγγελισμῷ, καὶ εἶπές μοι; χαῖρε κεχαριτωμένη Μαρία, ὁ κύριος μετὰ σοῦ. Ὁμοίως καὶ τὰ λοιπὰ τοῦ εὐαγγελισμοῦ· καὶ πῶς οὐκ εἶπές μοι τότε τὴν τοιαύτην αἰτίαν; ὅπερ νῦν βλέπωσιν (*sic*) οἱ ὀδυνηροί μου ὀφθαλμοί, τὰ ἄμετρα βάσανα τοῦ μονογενοῦς μου υἱοῦ. Πῶς τότε οὐκ εἶπές μοι τὸν ἄδικον θάνατον τοῦ γλυκυτάτου καὶ μονογενοῦς μου υἱοῦ; πῶς τότε οὐκ εἶπές μοι τὴν παροῦσάν μου καὶ ἀπαραμύθητον θλίψιν; πῶς τότε οὐκ εἶπές μοι τὸν ἄμετρον πόνον καὶ τρόμον τῆς τεθλιμμένης μου ψυχῆς καὶ καρδίας; πῶς τότε οὐκ εἶπές μοι τὸν ἀνεκδιήγητον καὶ τεθλιμμένον (*sic*) χωρισμὸν τοῦ ἀγαπητοῦ μου υἱοῦ, καὶ τὴν στέρησιν τῶν ἐσκοτισμένων μου ὀφθαλμῶν; πῶς τότε οὐκ εἶπές μου (*sic*) τὴν πανπίβουλον [πανεπίβουλον?] παράδωσιν τοῦ υἱοῦ μου παρὰ τῷ δολίῳ φιλήματι τοῦ παρανόμου Ἰούδα, τοῦ μαθητοῦ καὶ ἐπιβούλου; κύριε, ἐλέησον·* πῶς ζῶ; κύριε, ἐλέησον·* πῶς ἀναπνέω; κύριε, ἐλέησον·* πῶς οἱ τεφλωμένοι [τετυφλωμένοι] μου καὶ ἐσκοτισμένοι ὀφθαλμοὶ βλέπουσι τοσαῦτα βάσανα τοῦ γλυκυτάτου μου καὶ σπλαγχνικοῦ μου υἱοῦ; Κύριε, ἐλέησον·* τίς ἐν πάσῃ τῇ οἰκουμένῃ εἶχεν τοιούτους πόνους καὶ εὑρεθῇ (*sic*) κατασβέσαι μου τοὺς τοιούτους βαρυτάτους πόνους καὶ στεναγμοὺς τοῦ χωρισμοῦ τοῦ μονογενοῦς μου υἱοῦ; Οἴμοι οἴμοι, υἱέ μου παμφίλτατε· ποῦ καταφύγω ἢ ποῦ προσδράμω; οἴμοι, τέκνον· καὶ πῶς φανήσομαι τοῖς ἀνθρώποις τῆς τοσαύτης λυπημένης καὶ παραπονεμένης (*sic*); τί εἶχων [εἶχον?] λέγειν καθ' ἑαυτῶν ὑπὲρ ἐμέ; οἴμοι· αὕτη ἐστὶν τοῦ τόδυνος κεκρινομένου (*sic*)· ὅπερ (*sic*) ἐκαλεῖτο βασιλεὺς καὶ υἱὸς τοῦ θεοῦ. Οἴμοι, υἱέ μου γλυκύτατε· πῶς ἔχω μὴ μνησθῆναι τῆς ἀμέτρου καὶ σπλαγχνικῆς σοῦ ἀγάπης· ἀλλ' ἕως θανάτου ἔστωσαν ἐν ἐμοὶ λύπη, θλίψις, πόνοι, δάκρυα καὶ στεναγμοὶ ἀπαραμύθητα· καὶ οὐκ ἔστιν, υἱέ μου, ἄλλη παρηγορία ἐν ἐμοὶ οὐδεμία, ὅτι ἄρτι βλέπω, χωρίζομαι ἀπὸ σοῦ· καὶ λοιπὸν, υἱέ μου, ἀποθανοῦμαι κἀγὼ ἅμα σὺν σοί· καὶ ἐλθέτω, δέομαί σου, υἱὲ, ὁ ἀρχάγγελος Γαβριὴλ ὁ δώσας μοι πρῶτον τότε χαρὰν, καὶ συνζεύξει τὴν ψυχήν μου μετὰ σοῦ. Καὶ ἱσταμένη καὶ ὀδυρομένη ἡ θεοτόκος καὶ βλέπουσα πρὸς τὸν υἱὸν αὐτῆς τὸν μονογενῆ, πάλιν ἔκραξε φωνῇ μεγάλῃ λέγουσα· υἱέ μου, υἱέ μου. Τότε στραφεὶς πρὸς τὴν μητέρα ὁ Ἰησοῦς καὶ ἰδὼν τὴν μητέρα καὶ τὸν Ἰωάννην ἱστάμενον πλησίον αὐτῆς καὶ κλαίοντα μετὰ τῶν λοιπῶν γυναικῶν, καὶ εἶπεν πρὸς τὴν θεοτόκον ὁ Ἰησοῦς· Γύναι, ἰδοὺ ὁ υἱός σου. Ἔπειτα φησὶν πρὸς τὸν Ἰωάννην· ἰδοὺ ἡ μήτηρ σου. Ἡ δὲ θεοτόκος κλαίων ἐκραύγαζεν λέγουσα· διὰ τοῦτό σε κλαίω, υἱέ μου, διότι σε παρέδωκαν οἱ παράνομοι Ἰουδαῖοι εἰς πικρὸν θάνατον, ὡς ἐκεῖνοι οἱ τετυφλωμένοι νομίζουν (*sic*)· ἀλλὰ ὁ θάνατός σου, υἱέ μου, ἅγιος καὶ δίκαιός ἐστιν· καὶ σωτηρία τοῦ κόσμου ὅλου εὑρισθήσεται. Καὶ πρὸς ἐμὲ πάλιν λέγω· χωρίς σου, υἱέ μου, τί ἐγὼ γενήσομαι; ἐκτός σου πῶς ζήσω; ποταπὴν βιοτὴν διάξω; ποῦ οἱ μαθηταί σου οἱ καυχώμενοι συναποθνήσκειν σοι; ποῦ οἱ παρὰ σοῦ ἰαθέντες; Καὶ πρὸς τὸν σταυρὸν ἀφορῶσα ἔλεγεν· κλῖνον, σταυρὲ, ἵνα περιλαβοῦσα τὸν υἱόν μου, καὶ καταφιλήσω τὰ σπλάγχνα μου, τὰ φύλλα τῆς καρδίας μου, ὃν ἐν τοῖς μασθοῖς τούτοις ξενοτρόπως, ὡς μὴ ἄνδρα γνοῦσα, ἐθήλασα· κλῖνον, σταυρὲ, βουλομένῃ τῷ φιλτάτῳ μου υἱῷ περιπλακῆναι· κλῖνον, σταυρὲ, ἵνα τῷ ποθεινοτάτῳ μου υἱῷ ὡς μήτηρ συντάξαι [συντάξωμαι] καὶ καταφιλήσω. Ποῦ τὸ κάλλος σου, υἱέ μου ὡραιότατε; ποῦ σου οἱ [ἡ] εὐπρέπεια, ὁ ὡραῖος παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων; οὐκ ἔχεις ἴδος [εἶδος] οὐδὲ κάλλος, γλυκύτατε υἱέ· ὑπὸ χειρῶν παρανόμων λοιπὸν σὺν σοὶ ἀποθανοῦμαι. Ταῦτα ἀκούσαντες οἱ Ἰουδαῖοι προσελθόντες ἐδίωξαν αὐτὴν καὶ τὰς γυναῖκας καὶ τὸν Ἰωάννην μακράν.

Τότε ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ λέγων· Μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασιν τί ποιοῦσιν οἱ ἄθλιοι. Ἔπειτα λέγει· διψῶ. Καὶ εὐθὺς ἔδραμεν εἷς ἀπὸ τῶν στρατιωτῶν· καὶ λαβὼν σπόγγον καὶ πλήσας

αὐτὸν καὶ θεὶς ἐπὶ καλάμου ἐπότιζεν αὐτόν· καὶ γευσάμενος οὐκ ἤθελεν πιεῖν. Οἱ *δὲ* Ἰουδαῖοι *ἱστάμενοι καὶ βλέποντες καταγέλων [κατεγέλων] αὐτὸν καὶ ἔλεγον· ἐὰν ἀληθῶς ἔλεγες ὅτι υἱὸς εἶ τοῦ θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ, καὶ παρευθὺς ἵνα πιστεύσωμεν εἰς σέ.* Ἕτεροι *ἔλεγον καταγελῶντες· ἄλλους ἔσωσεν, ἄλλους ἐθεράπευσεν καὶ ἰάσατο, ἀσθενεῖς, παραλελυμένους, λεπρούς, δαιμονιζομένους, τυφλούς, χωλούς, νενεκρωμένους, καὶ ἑαυτὸν οὐ δύναται θεραπεῦσαι ὡσαύτως.* Καὶ *ὁ ἐν τῷ ἀριστερῷ μέρει ἐσταυρωμένος ληστὴς πρὸς αὐτὸν ἔλεγεν· ἐὰν τοῦ θεοῦ υἱὸς εἶ,*[1] *κατάβηθι καὶ σῶσον καὶ ἑαυτὸν*[2] *καὶ ἡμᾶς.* Ὄνομα *αὐτῷ ἦν* Γήστας. Ὁ *δὲ ἐξ δεξιῶν ἐσταυρωμένος ληστής, ὀνόματι* Δυσμὰς (*sic*), *καὶ ὠνείδιζεν τὸν αὐτὸν ληστὴν λέγων· ὦ ταλαίπωρε καὶ ἄθλιε, οὐ φοβῇ τὸν θεόν; ἡμεῖς ἄξια ὃν [ὧν] ἐπράξαμεν ἐπάθομεν· οὗτος δὲ πάντως οὐδὲν κακὸν ἐποίησεν οὔτε ἔπραξεν.* Καὶ *στραφεὶς οὗτος ἐκ δεξιῶν ληστὴς προσεφώνει καὶ λέγει πρὸς τὸν* Ἰησοῦν· *μνήσθητί μου, κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.* Ὁ *δὲ* Ἰησοῦς *εἶπεν αὐτῷ· ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.*

Ἀκούσατε δὲ καὶ ἑτέραν διήγησιν περιε (*sic*) τούτου τοῦ ἐκ δεξιῶν λῃστοῦ. Εἰς τὴν γέννησιν τοῦ Χριστοῦ, ὅ ἐστιν εἰς λγ' χρόνου, ὅταν φωνὴ ἐξῆλθεν ὑπὸ ἀγγέλου τῷ Ἰωσὴφ, ἵνα ἄρει (*sic*) τὸ βρέφος καὶ τὴν μητέρα αὐτοῦ, τὴν ὑπεραγίαν δέσποιναν θεοτόκον, καὶ ἐξέλθωσιν τῆς Ἰουδαίας Ἱερουσαλὴμ (*sic*), τοῦ ὑπάγειν πρὸς Αἴγυπτον διὰ τὸν φόβον τοῦ Ἡρώδου· ὅταν ὥρισεν ἵνα ἀποκτείνωσιν ὅλα τὰ εὑρισκόμενα βρέφη ἀπὸ τριῶν ἐτῶν καὶ κάτωθεν ἀσφάλτως (*sic*). τοῦτο δὲ ὅλον γέγονεν, ἵνα ἀποκτείνωσι τὸν Ιησοῦν Χριστόν. Τότε παραγγειλάμενος (*sic*) ὁ Ἰωσὴφ παρ' ἀγγέλου τούτου ποιῆσαι, ἤγαγεν τὸ βρέφος καὶ τὴν μητέρα αὐτοῦ, καὶ ἦλθεν πρὸς τὴν Αἴγυπτον. ὄνος δὲ συντρέχων μετ' αὐτοῖς ἕνα παρ' ἕνα βαστάζειν ἐν τῇ ὁδῷ. καὶ πλησιάσας ἐν τῷ τόπῳ τῆς Αἰγύπτου, ἐπείνασαν ἅμα Ἰωσὴφ καὶ ἡ θεοτόκος· καὶ εὐθὺς θεωροῦν (*sic*) φοινικίαν[3] κάρπιμον καὶ πάνυ ὡραίαν. εἶτα λέγει ἡ θεοτόκος· κλῖνε, δένδρον μου καλὸν, καὶ χάρισον ἡμῖν ἐκ τοῦ σοῦ ὡραίου καρποῦ. καὶ μετὰ τοῦ λόγου αὐτῆς τὸ δένδρον ἔκλινεν εὐθύς, καὶ ἔλαβαν (*sic*) ἀπὸ τοῦ καρποῦ αὐτοῦ ὅσον ἔχριζαν [ἔχρῃζαν] ἐσθίειν· καὶ πάλιν τὸ δενδρον ἵστατο ὥσπερ τὸ πρότερον. εἶτα ὥδευον πάλιν τὴν ὁδὸν, καὶ διερχόμενοι μικρὸν ἔμπροσθεν, ἐσυνάντησαν (*sic*) τούτου τοῦ λῃστοῦ, ἤγουν τοῦ Δυσμά. καὶ ἰδὼν ὁ λῃστὴς τὴν θεοτόκον, ἐξέστη τοῦ κάλλους αὐτῆς ὡς ἀστραπὴν λάμπουσαν ἐκ τοῦ οὐρανοῦ, κρατῶν (*sic*) καὶ τὸ βρέφος τοῦ στήθους αὐτῆς. Καὶ ὁ λῃστὴς ἔξεστιν [ἐξέστη] πάλιν τοῦ θαύματος, καὶ προσῆλθεν πλησίον καὶ προσεκύνησεν αὐτὴν, μὴ γινώσκοντος (*sic*) ὅτι ἡ θεοτόκος ἐστίν. καὶ λέγει ὁ λῃστὴς τῆς θεοτόκου (*sic*)· μὰ τὴν ἀλήθειαν κυρία· ἡ [εἰ?] γὰρ εἶχον ὁ θεὸς μάννα, εἰπεῖν εἴθελα [ἤθελα] ὅτι σὺ εἶ. Καὶ προσεκαλέσατο αὐτὴν μετὰ τοῦ Ἰωσὴφ ἐν τῷ οἴκῳ αὐτοῦ προσελθεῖν, καὶ ἤγαγεν αὐτοὺς ἐν τῷ οἴκῳ αὐτοῦ· και παρέδωκεν αὐτοὺς τῇ γυναικὶ αὐτοῦ· γύναι, ἐγὼ ὑπάγω εἰς τὸ κυνήγη (*sic*)· καὶ σὺ φιλοξένησον αὐτοὺς ὅσον δύνασαι ποιῆσαι τιμὴν, ἕως οὗ στραφήσωμαι κἀγὼ ἐκ τοῦ κυνηγίου· καὶ διορθώσομεν εὐγενεστάτην τιμὴν τῆς ξένης τούτης (*sic*) καὶ εὐγενῆς (*sic*) ὅτι κατὰ τὸ φαινόμενον ἀπὸ εὐγενικωτάτης γενεᾶς ὑπάρχει. Ὁ δὲ λῃστὴς ἀπῆλθεν τοῦ κυνηγῆσαι ζῶα, ὥσπερ ἦν

---

[1] The original reading was ἦν, which has been altered to εἶ in the MS. — H.

[2] *σεαυτὸν*. — H.

[3] Or *φοινικαίαν*. The original is obscure, and permits either reading. — H.

μαθημένος (*sic*). εἶχεν δὲ ὁ αὐτὸς λῃστὴς καὶ παιδίον ἰδικόν τον (*sic*), καὶ ἦν λεπρὸν ἐκ γεννήσεως. ἦτον (*sic*) καὶ ἀνηρήνευτον (*sic*) ἤγουν οὐδ' ὅλως ἔπαυεν τοῦ κλαίειν. ἡ δὲ γυνὴ ἐκύνη [ἐκείνη] τοῦ λῃστοῦ ἐποίησεν θερμὸν τοῦ λοῦσαι τὸ βρέφος τῆς θεοτόκου. λουσαμένου (*sic*) δὲ πρότερον τὸ παιδίον Ἰησοῦν· καὶ ἐκ τὸ ὑπονήματος (*sic*) τοῦ Ἰησοῦ ἔλουσεν καὶ τὸ παιδίον αὐτῆς τὸ λεπρόν. καὶ εὐθὺς τὸ παιδίον ἐκεῖνον (*sic*) ἐσήγησεν [ἐσίγησεν] τοῦ κλαίειν, καὶ ἰάθη τῆς λεπρότητος καὶ παντοίας νόσου αὐτοῦ. ἐλθόντος δὲ τοῦ λῃστοῦ ἐκ τοῦ κυνηγείου ἐν τῷ οἴκῳ αὐτοῦ, οἰκονόμησαν τράπεζαν καὶ ἐτίμησαν αὐτήν· καθημένων δὲ ἐν τῇ τραπέζῃ καὶ ἐσθιόντων, ἐνεθυμήθη ὁ λῃστὴς τοῦ παιδίου αὐτοῦ, καὶ εἶπεν τῇ γυναικὶ αὐτοῦ· ποῦ ἐστὶν τὸ τέκνω (*sic*) ἡμῶν; καὶ εἶπεν αὐτῷ· μάθε ἐν ἀληθείᾳ, ὅτι, καθώς μου [μοι] ἐπαρήγγειλες, ἵνα φιλοξενήσομαι τὴν εὐγενὴν[1] ταύτην· οἰκονόμησα θερμον να [ἵνα] πλή* [πλήσῃ? πλύνῃ?] τὸ βρέφος αὐτῆς, καθὼς τὸ σύνηθες τῶν παιδίων· καὶ ἔλουσεν τὸ βρέφος αὐτῆς, καὶ εἰς τὸ ἀπόλουσμα τοῦ υἱοῦ αὐτῆς ἔπλυνα τὸ τέκνον ἡμῶν. καὶ εὐθὺς ἰάθη ἀπὸ παντὸς [παντοίας] νόσου, ὡς εἴρηται· καὶ εἰρηνεύη [εἰρηνεύει] χάριτι θεοῦ, καὶ οὐδέποτε πλεῖον ἐστρίγγησεν (*sic*), ὡς ἦτον (*sic*) μαθημένον (*sic*). καὶ κατὰ τὸ φαινόμενον ὡς δοκῶ, ἐτούτη (*sic*) ἡ εὐγενῆ (*sic*) ἔναι (*sic*) χαριτωμένη (*sic*), ἀπὸ θεοῦ τοῦ ὑψίστου· καὶ διὰ τῆς αὐτῆς χάριτος ἰάθη τὸ τέκνον ἡμῶν. Καὶ προσέφερεν ἔμπροσθεν τὸ ἰαθὲν παιδίον εἰρηνεῦον καὶ χαροποιόν.

Καὶ ἰδὼν ὁ λῃστὴς τὸ τέκνον αὐτοῦ ὑγιεῖ (*sic*), ἐξέστη τοῦ θαύματος, καὶ εἶπεν· μὰ τὸν ὕψιστον, διότι οὐδὲν ἤκουον τοῦ κλαίειν αὐτῶ [αὐτὸ] ὡς πάντοτε, ἠνόμησα [ἐνόμισα?] ὅτι ἐξῆλθεν ἐκ τοῦ κόσμου. Καὶ λοιπὸν κἀγὼ νομίζω ἐν ἀληθείᾳ, ὅτι ἐτούτη (*sic*) ἡ εὐγενῆ ἡ ἐφ' ἡμᾶς ἐλθοῦσα να ἔχει εὐχὰς πολλὰς ἀπὸ θεὸν τὸν ὕψιστον (*sic*). Καὶ προσεκύνησεν αὐτὴν καὶ ἐχαρίστησεν αὐτῆς (*sic*) πλῆστα [πλεῖστα]· καὶ ὅπερ ἐδύνετο (*sic*) ἐποίειν (*sic*) δι' αὐτῆς. μέχρι και ἐκαρτέρετο (*sic*) ἐν τόπῳ τῆς Αἰγύπτου· και εἰς τὸν διαγερμὸν (*sic*) αὐτῆς να ἔλθῃ πάλιν εἰς τὴν Ἰουδαίαν, ἤγουν εἰς τὴν Ἱερουσαλὴμ, ὁ λῃστὴς ἐσυνόδευσεν τὴν θεοτόκον μετὰ πάσης περιχαρίας καὶ τιμῆς· καὶ ὑπάγενεν (*sic*) καὶ ἦτον (*sic*) πρόοδος αὐτῆς· περὶ τοῦ βλεπεσθαι αὐτὴν, ἐκ τοῦ δολίου τόπου καὶ τζιγκροῦ[2] καὶ δισκ [δυσκόλου]. Καὶ ὅταν ἐπλησίασαν ἐν τόπῳ ἀγαθῷ καὶ εὐθεῖ, ἐποίησεν μετάνοιαν (*sic*) αὐτῆς, ἵνα στρέψαι εἰς τὸν οἶκον αὐτοῦ. καὶ εὐχαρίστησεν αὐτὴν πανέντιμον εὐχαριστείαν καὶ λεγει του (*sic*) ἡ πανάχραντος, ὕπαγε ἐν εἰρήνῃ. καὶ ποτὲ τὸν καιρὸν στρέψει (*sic*) σου θέλω τὸν μισθὸν ὃν ἐποίησας ἐφ' ἡμᾶς. καὶ ἰδὲ τὸν τέτιον (*sic*) λῃστὴν ὁ τοσαῦτα πράξας διὰ τῆς χάριτος τοῦ ἐλεήμονος Χριστοῦ καὶ τῆς αὐτοῦ μητρός· ὅπερ ἐτάξατο αὐτῷ* ἠξιώθην ἐν τούτῳ, ἵνα μαρτυρήσει ἐν τῷ σταυρῷ ἅμα σὺν τῷ Χριστῷ. Καὶ εἶπεν ὡς εἴρηται· μνήσθητί μου, κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ ἐπὶ τῷ [τὸ] προκείμενον· ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.

Τότε ὁ Ἰησοῦς κράξας φωνῇ μεγάλῃ εἶπε· Πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου. Καὶ μετὰ τοῦ λόγου ἀπέπνευσε.

[§ 12.] ἦν δὲ ὡσεὶ ὥρα ἕκτη, καὶ παραυτίκα, σεισμὸς γὰρ[3] ἐγένετο μέγας εἰς τὴν γῆν ἅπασαν, ὥστε πᾶς ὁ κόσμος ἔφριξε· καὶ ἀπὸ τοῦ σφοδροῦ σεισμοῦ ἐσχίζοντο αἱ πέτραι, ἠνοίγοντο καὶ τὰ μνημεῖα τῶν νεκρῶν, καὶ πολλὰ σώματα τῶν δικαίων ἠγέρθησαν· καὶ ἐσκοτίσθη ὁ ἥλιος,

---

[1] Sic, et supra semper μονογενοῦ υἱοῦ, quod non ducebam annotandum. — D.

[2] Sic, sed ita ut dubium sit κ, quod etiam ν esse potest. — D.

[3] Codex habet γάρ. — D. Vide Acta Pilati, B, c. 11, apud Tischendorfium. — A.

καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη μέσον, καὶ σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐννάτης.

Καὶ τούτων πάντων γενομένων οἱ μὲν Ἰουδαῖοι φοβηθέντες [1] οἱ μὲν αὐτῶν ἔλεγον· Ὅτι ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν. Λογγῖνος ὁ ἑκατόνταρχος ἱστάμενος μετὰ παρρησίας εἶπεν· Ἀληθῶς θεοῦ υἱὸς ἦν οὗτος. Ἄλλοι ἐρχόμενοι καὶ ὁρῶντες αὐτὸν κατατύπτοντες τὰ στήθη αὐτῶν καὶ ἀπὸ τοῦ φόβου αὖθις ἐστρέφοντο ὄπισθεν.

Ὁ δὲ ἑκατόνταρχος τὰ τοιαῦτα πάντα θαύματα κατανοήσας ἀπελθὼν εἰς τὸν Πιλάτον διηγήσατο ταῦτα. Ὁ δὲ ἀκούσας ἐθαύμασε καὶ ἐξεπλάγη, καὶ ἀπὸ τοῦ φόβου αὐτοῦ καὶ τῆς λύπης τῇ ἡμέρᾳ ἐκείνῃ φαγεῖν ἢ πιεῖν οὐκ ἠθέλησε. Διεμηνύσατο δὲ, καὶ ἦλθεν ὅλον τὸ συνέδριον, ἀφ' οὗ διέβη τὸ σκότος· καὶ εἶπε — πρὸς τὸν λαὸν — ὁ Πιλάτος· Εἴδετε, πῶς σεισμὸς μέγας ἐγένετο; εἴδετε πῶς ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον; εἴδετε πῶς ἐγένετο σκότος ἐφ' ὅλην τὴν οἰκουμένην ἀπὸ ὥρας ἕκτης ἕως ὥρας ἐννάτης; Ὄντως ἐγὼ καλῶς ποιὸν [ποιῶν] τὸν καλὸν ἄνθρωπον οὐδαμῶς φονεῦσαι προεθυμούμην.

Ἀκούσωμεν δὲ καὶ περὶ τῆς μαρτυρίας Διονυσίου τοῦ Ἀρεοπαγίτου· ἣν [2] ὁμολόγησεν (*sic*) ἐν τῇ χώρᾳ αὐτοῦ ὄνομα ἄρεον πάγος (*sic*) περὶ τοῦ γεγονότος καὶ φρικτοῦ θαύματος τοῦ σκότου τουτου τοῦ γενομένου ἐν ὅλῃ τῇ οἰκουμένῃ τὴν ἁγίαν ἐκείνην ἡμέραν τοῦ πάθους τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· οὗτος οὖν ὁ Διονύσιος, ὁ ὑπερμέγιστος καὶ θαυμαστὸς φιλόσοφος καὶ διδάσκαλος τῶν φιλοσόφων, ἰδὼν τὰ τοσαῦτα σημεῖα ἐν τῃ ἡμέρᾳ ἐκείνῃ καὶ τὰς ἐν πολλῇ δυνάμει ταραχὰς καὶ τοῦ τοιούτου γεναμένου (*sic*) σκότου ἐφ' ὅλην τὴν γῆν τῆς οἰκουμένης, εὐθὺς μεγαλοφώνως καὶ ἐνώπιον παντὸς τοῦ λαοῦ εἶπεν· ἄρχοντες, ἐν ἀληθείᾳ λέγω ὑμᾶς (*sic*)· τοῦτο τὸ σκότος ὅπερ ἦλθεν ἐφ' ἡμᾶς, καὶ παρῆλθεν τὸ φῶς ἐναντίως τῆς φύσεως τοῦ ἡλίου μαρτυρῶ καὶ γνώσεσθε πάντες τούτω (*sic*)· ὅτι ἢ ἐν σπάθῃ [πάθει?] ἐστὶν ὁ υἱὸς τοῦ θεοῦ ὁ λεγόμενος Χριστὸς, ἢ ὁ κόσμος ὅλος ἀπέλεσαι (*sic*)· καὶ οὕτως αὐτὸς νοήσας υπὸ τῆς μεγίστης πείρας τῆς αὐτοῦ διδασκαλείας. καὶ μετὰ τριῶν ἐτῶν μετὰ ταῦτα τῆς αὐτοῦ λαληθεὶς [λαληθείσης] ὁμολογίσεως [ὁμολογήσεως], οὗτος ὁ Διονύσιος διὰ τῆς χάριτος τοῦ παναγίου πνεῦματος ἐπίστευσεν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ ἐβαπτίστην [ἐβαπτίσθη] εἰς τὸ ὄνομα αὐτοῦ, καὶ πλειστους ἄλλους ἐδίδαξεν καὶ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα αὐτοῦ, θεοῦ τοῦ ἀληθινοῦ Ἰησοῦ Χριστοῦ. Τέλος πάντων μετὰ τῆς ἐξόδου αὐτοῦ, ἤγουν μετὰ τὸν θάνατον αὐτοῦ, αὐτὸς ὁ Διονύσιος ἠξιώθην (*sic*) καὶ πολλῶν θαυμάτων ἐνεργητὴς, εἰς βεβαίωσιν τῆς ὀρθῆς πίστεως τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν τῶν ἁγίων παθῶν.

---

[1] οἱ μὲν αὐτῶν addit codex. — D.

[2] ἦν. — H.

Οἱ δὲ κακοῦργοι πάντες τὸ σύνολον οὐκ ἐπίστευον, ἀλλὰ μᾶλλον ἔλεγον πρὸς τὸν Πιλάτον, ὅτι τὸ τοιοῦτον [τοιοῦτο] σκότος ἔκλειψις τοῦ ἡλίου ἐστὶ, καθὼς ἐγένετο καὶ ἐν ἑτέροις καιροῖς. Καὶ ὁ Πιλάτος λέγει αὐτῶν [αὐτοῖς]· εἰ τοῦτο τὸ σκότος ἔκλειψις τοῦ ἡλίου ἐστὶν, ὥσπερ λέγεται [λέγετε?], καὶ τὰ ἕτερα ἐξαίσια καὶ φρικτὰ θαύματα τί λέγετε εἶναι; καὶ οὐκ εἶχον τί ἀπολογηθῆναι.

Καὶ *ταῦτα λέγων οὗτος* (*sic*) *προσελθόντες οἱ* Ἰουδαῖοι *καὶ* (*sic*) *εἶπον τῷ* Πιλάτῳ· *οὐ καλῶς ἐγράφησαν, κύριέ μου, τὰ γράμματα ἄνωθεν τῆς κεφαλῆς τοῦ* Ἰησοῦ· *μαρτυροῦσιν γὰρ αὐτὸν βασιλέα ἡμῶν· διὰ τοῦτο δεόμεθά σου, ἵνα ὁρίσῃς καὶ γραφεῖ* [*γραφεῖν*][1] *ἐκεῖσε ὅτι οὗτος εἶπεν ὅτι ἐστὶ βασιλεὺς τῶν* Ἰουδαίων. Ἔφη *αὐτῶν* (*sic*) ὁ Πιλάτος· *ὃ ἔγραψα, ἔγραψα.* Εἶτα *λέγουσιν αὐτῷ· ἡμεῖς ἔχωμεν* [*ἔχομεν*] *τὴν ἑορτὴν τῶν ἀζύμων διὰ τῆς αὔριον ἡμέρας, καὶ παρακαλοῦμέν σε, ἐπεὶ ἔτι πνέουσιν οἱ ἐσταυρωμένοι, ἵνα κατακλασθῶσι τὰ ὀστᾶ αὐτῶν, καὶ καταβιβασθῶσιν.* Εἶπεν ὁ Πιλάτος· Τοῦτο *γενήσεται.* Ἀπέστειλεν *οὖν στρατιώτας, καὶ εὗρον ἔτι πνέοντας τοὺς λῃστὰς, καὶ συνέθλασαν αὐτῶν τὰ σκέλη.* Τὸν *δὲ* Ἰησοῦν *εὑρόντες τεθνηκότα καὶ οὐδαμῶς αὐτοῦ ἥψαντο.* Τότε *ἀπελθὼν εἷς στρατιώτης καὶ ἐλόγχευσε τὸν* Ἰησοῦν *ἐν τῇ δεξιᾷ αὐτοῦ πλευρᾷ, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ.*

Καὶ *ἐπληρώθησαν οἱ λόγοι τῶν προφητῶν.* Ἱερεμίας *εἶπεν· δεῦτε ἐμβάλλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ· καὶ ἐκστρέψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων· καὶ τὸ ὄνομα αὐτοῦ οὐ μὴ μνησθῇ ἔτει* [*ἔτι*]· *κύριε τῶν δυνάμεων, κρῖναι δίκαια.* Ζαχαρίας *εἶπεν· καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυρίοις.* Ἡσαΐας *εἶπεν· τὸν νῶτον* [*νῶτόν*] *μου ἔδωκαν εἰς μάστιγας· τὰς δὲ σιαγόνας μου εἰς ῥαπτίσματα* (*sic*)· *τὸ δὲ πρόσωπόν μου οὐκ ἀπόστρεψα* (*sic*) *ἀπὸ αἰσχύνης αἱμπτυσμάτων·* [*ἐμπτυσμάτων*]· *καὶ κύριος ἐγαιμήθη* [*ἐγενήθη*] *βοηθός μου.* Καὶ *πάλιν ὁ αὐτὸς εἶπεν· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἄκακος ἐναντίον τοῦ κήραντος* [*κείραντος*] *αὐτὸν, οὕτως ἄφωνος οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ ἐν τῇ ταπεινώσει αὐτοῦ· ἡ κρίσις αὐτοῦ ἤρθει* [*ἤρθη*]· *τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται, ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.* Καὶ λοιπὸν *ἐπληρώθησαν νῦν οἱ λόγοι τῶν προφητῶν, καθὼς καὶ προείπομεν.*

[§ 13.] *Πρὸς ἑσπέραν δὲ τῆς παρασκευῆς καντάντωσης Ἰωσὴφ τις ἀνὴρ εὐγενής τε καὶ πλούσιος, — θεοσεβὴς — Ἰου-*

---

[1] Sic, ut videtur, pro γραφεῖ (in fine lineæ) *i.e.* γράφειν. — D.

δαῖος, εὑρὼν τὸν Νικόδημον, ὃν προφθάσας ὁ λόγος ἐδήλωσε, λέγει αὐτῷ· οἶδα ὅτι ζῶντα τὸν Ἰησοῦν ἠγάπας, καὶ τοὺς λόγους αὐτοῦ ἡδέως ἤκουες· καὶ πρὸς τοὺς Ἰουδαίους εἶδόν σε μαχόμενον ὑπὲρ αὐτοῦ· εἰ δοκεῖ σοι οὖν, πορευθῶμεν πρὸς τὸν Πιλάτον καὶ αἰτησώμεθα τὸ σῶμα τοῦ Ἰησοῦ πρὸς ταφὴν, ὅτι καὶ μεγάλη ἐστὶν ἁμαρτία κεῖσθαι αὐτὸν ἄταφον. Δέδοικα, λέγει ὁ Νικόδημος, μήπως ὀργισθέντος τοῦ Πιλάτου καὶ πάθω τι κακόν· εἰ δὲ σὺ μόνος ἀπελθὼν καὶ αἰτήσας λάβῃς τὸν τεθνηκότα, τότε κἀγὼ συνοδεύσω σοι, καὶ τὰ πρὸς κηδίαν [κηδείαν] ἐπιτήδεια πάντα συνδιαπράξομαι.

Ταῦτα εἰπόντος τοῦ Νικοδήμου, ὁ Ἰωσὴφ ἀτενίσας εἰς τὸν οὐρανὸν τοὺς ὀφθαλμοὺς, καὶ αἰτησάμενος μὴ διαμαρτύσαι [διαμαρτήσαι] τῆς αἰτήσεως, ἀπῆλθε προς τὸν Πιλάτον· καὶ προσαγορεύσας ἐκαθέσθη. εἶτα φησὶν πρὸς αὐτὸν μετὰ δακρύων· δέομαί σου, κύριέ μου, εἴ τι παρὰ τὸ δοκοῦν τῇ μεγαλειότητί σου αἰτήσομαι, μὴ ὀργισθῆναί μοι. Ὁ δὲ ἔφη· καὶ τί ἐστιν ὃ αἰτεῖς; Λέγει ὁ Ἰωσήφ· Ἰησοῦν τὸν ξένον τὸν καλὸν ἄνθρωπον, ὃν ὑπὸ φθόνου [οἱ] Ἰουδαῖοι[1] κατήνεγκαν εἰς τὸ σταυρῶσαι, τὸ σῶμα τοῦτο θέλω, παρακαλῶ, ἵνα δῷς μοι πρὸς ταφήν· δός μοι τοῦτον τὸν ξένον, ἵνα τὸν ξένον τοῦτον κηδεύσω. δός μοι τοῦτον τὸν ξενον, ἵνα τὸν ἐν (*sic*) ξένης χώρας ὄντα κηδεύσω τὸν ξένον·[2] δός μοι τοῦτον τὸν ξένον ὅπου (*sic*) ὁ Ἰούδας ὁ Ἰσκαριότης τοῦτον τὸν ξένον, αὐτὸν ἐπαρέδωκεν (*sic*) τοῖς Ἰουδαίοις ἀδίκως· δός μοι τούτον τὸν ξένον, ὅπου ἡ μήτηρ αὐτοῦ οὐκ ἦχεν [εἶχεν] ἄλλον οὐδέν (*sic*)· δός μοι τοῦτον τὸν ξένον, ἵνα κηδεύσω αὐτὸν τὸν ξένον μετὰ κλαυθμοῦ καὶ ὀδυρμοῦ· δός μοι τοῦτον τὸν ξένον, ἵνα ὁς[3] ξένος τούτοις οὐκ ἔχει ἀδελφὸν ἡμεὶ[4] τοὺς μαθητὰς αὐτοῦ· δός μοι τοῦτον τὸν ξένον, ὅπου καὶ οἱ μαθηταὶ αὐτοῦ ἔφυγον, καὶ οὐκ ἦν κἂν (*sic*) τὶς κηδεῦσαι τοῦτον τὸν ξένον· δός μοι τοῦτον τὸν ξένον, ἵνα τὸν Ἰησοῦν μου κηδεύσω. δός μοι τοῦτον τὸν ξένον[5] τὸν υἱὸν τῆς Μαρίας κηδεύσω. δός μοι τοῦτον τὸν ξένον, ὅπου οἱ Ἰουδαῖοι αὐτὸν κατεμαστίγωσαν· δός μοί τοῦτον τὸν ξένον, ὅπου τοὺς νεκροὺς ἀνέστησεν· δός μοι τοῦτον τὸν ξένον, ὅπου τοὺς λεπροὺς ἐκαθάρησεν [ἐκαθάρισεν]· δός μοι τοῦτον τὸν ξένον, ὅπου τοὺς δαίμονας ἀπέλασεν· δός μοι τοῦτον τὸν ξένον, ὅτι διὰ τὸν φόβον αὐτοῦ ἐ[αἰ] πέτραι αἰσχισθησαν [ἐσχίσθησαν]· δός μοι τοῦτον τὸν ξένον, ὅτι διὰ τὸν φόβον[6] τὰ μνήματα ἠνεῴχθησαν· δός μοι τοῦτον τὸν ξένον, ὅπου τὸν Ἀδὰμ σὺν προφήταις ἀνέστησεν· δός μοι τοῦτον τὸν ξένον, ὅπου τὸ καταπέτασμα διὰ τὸν φόβον αὐτοῦ ἐσχήθη (*sic*) εἰς δύο· δός μοι τοῦτον τὸν πτωχὸν καὶ πένητα· δός μοι τὸ σῶμα τοῦ τεθνηκότος, ἵνα τοῦτον καταφιλήσω ἐν τῇ ἀποχωρήσῃ μας [μου]· ὅτι ἐκεῖνος κἀγὼ πλεῖστα ἠγαπούμεθα (*sic*)· δός μοι τὸ σῶμα τοῦ Ἰησοῦ μου, ἵνα καταφιλήσω τὴν πληγὴν τῆς ἀχράντου πλευρᾶς αὐτοῦ· δώρησαί μοι τοῦτον τὸν νεκρὸν, ἵνα λάβω αὐτὸν κατακαλύψαι τὴν γῆν (*sic*)· δώρησαί μοι τὸ τρισμακάριστον σῶμα, ὅπερ νεκρούμενον ἡ κτίσις ἐπένθησεν· δώρησαί μοι σῶμα, ὅπερ ἀποπνέον ὁ ναὸς θεασάμενος περιέσχισεν τὸ ἑαυτοῦ

---

1 Sine οἱ. — D.

2 Additur in margine ὅπου τὴν κεφαλὴν κλήνοι οὐκ ἔχῃ, sic. — D.

3 Sic, cum spatiolo unius literæ. — D.

4 Sic hæc omnia. — D.

5 Sine ἵνα. — D.

6 Sine αὐτοῦ. — D.

καταπέτασμα· δώρησαί μοι σῶμα, δι' οὗπερ κρεμαμένου αὐτοῦ αἱ πέτραι ἐσχίσθησαν· δώρησαί μοι σῶμα, δι' οὗπερ κρεμαμένου αὐτοῦ ἐσαλεύθησαν αι ῥίζαι πᾶσαι τῆς γῆς· δώρησαί μοι σῶμα, ὅπως καταφιλήσω τὰ τραύματα τῶν ἁγίων αὐτοῦ χειρῶν, δι' ὧν τῆς ἐμῆς ψυχῆς ἐθεραπεύθησαν τὰ τραύματα· ψηλαφήσω τὴν ἄχραντον ἐκείνην καὶ ἁγίαν πλευρὰν, ἀφ' ἧς ἐπήγασεν αἷμα καὶ ὕδωρ ἀναγεννήσεως· ἐνταφιάσωσιν αἱ χεῖρες αὗται τὸν μέλλοντα λύειν τοῦ θανάτου τὰ σπάργανα· κηδεύσωσιν οὗτοι οἱ ἁμαρτωλοὶ δάκτυλοι τὸν πάσης δικαιοσύνης ἐργάτην καὶ παιδευτήν· δώρησαί μοι τοῦτο τὸ σῶμα, ὃ οὐκ ἀπὸ σοῦ ἐτεθνήκη [ἐτεθνήκει], ὦ κράτιστε ἐξουσιάρχα· δέομαι τῇ μεγαλειότητί σου μὴ παρακούσῃς τῆς αἰτήσεώς μου. Λέγει ὁ Πιλάτος· καὶ τί γέγονεν ὅτι μαρτυρηθέντα τοῦτον ὑπὸ τῆς γενεᾶς αὐτοῦ ἐπι μαγείαις καὶ ὑποψείᾳ (*sic*) ὄντα ἤθελον λαβεῖν τὴν βασιλείαν τοῦ Καίσαρος, καὶ οὕτω παρ' ἡμῶν εἰς θάνατον ἐκδοθέντα· τιμᾶσθαι αὖθις τούτον τὸν νεκρὸν ἐπιτρέψωμεν; Ὁ δὲ Ἰωσὴφ περίλυπος γενόμενος καὶ δακρύσας τοῖς ποσὶ προσέπεσε τοῦ Πιλάτου, Μή σοι, λέγων, κύριέ μου, ἐπὶ νεκρῷ φθόνος τις ἐπιγένηται· πᾶσα γὰρ κακία ἐν τῇ τελευτῇ δεῖ συναπόλυσθαι [συναπόλλυσθαι] τοῦ ἀνθρώπου· ἐγὼ δὲ οἶδα τὴν μεγαλειότητά σου, πόσα ἐσπούδασας ὥστε μὴ σταυρωθῆναι τὸν Ἰησοῦν· καὶ πόσα πρὸς τοὺς Ἰουδαίους ὑπὲρ αὐτοῦ εἶπας, τὰ μὲν παραινῶν, τὰ δὲ καὶ θυμούμενος· καὶ ὕστερον, πῶς τὰς χεῖρας ἀπένιψας, καὶ μηδαμῶς ἔχειν μέρος ἀπεφήνω μετὰ τῶν ἐθελόντων ἀποκτανθῆναι αὐτόν. ἐφ' οἷς ἅπασι δέομαί σου μὴ ἀποστραφῆναι τὴν αἴτησίν μου. Οὕτω τοίνυν ἐπικείμενον ἰδὼν ὁ Πιλάτος τὸν Ἰωσὴφ καὶ ἱκετεύοντα καὶ δακρύοντα, ἤγειρεν αὐτὸν λέγων· ἄπιθι, χαρίζομαί σοι τὸν τοιοῦτον νεκρὸν, καὶ τοῦτον λαβὼν πρᾶττε ὅσα σοι βουλητά. Τότε Ἰωσὴφ, εὐχαριστήσας τῷ Πιλάτῳ καὶ καταφιλήσας αὐτοῦ τὰς χεῖρας καὶ τὰ ἱμάτια, ἐξῆλθεν χαίρων, τῇ καρδίᾳ μὲν χαίρων, ὡς τὸ ποθούμενον (*sic*) τυχών, τοὺς ὀφθαλμοὺς δὲ φέρων ἔτι δακρύοντας· οὕτω καὶ τὴν χαρὰν εἶχεν λελυπημένος, καὶ τὴν λύπην χαίρων καὶ ἀγαλλόμενος. Ἄπασιν [ἄπεισιν?] οὖν πρὸς τὸν Νικόδημον, καὶ τὰ γενόμενα πάντα διασαφεῖ. διότι δὲ κἀκεῖνος εὐσεβὴς καὶ ἠγάπα τὸν Ἰησοῦν, καὶ εἶπε τούτῳ πάντα τὰ τοῦ Πιλάτου. Ἐξωνησάμενοι δὲ σμύρνην καὶ ἀλόην, ἑκατὸν λίτρας, καὶ μνημεῖον καινὸν, ἐκαθῆλαν [καθεῖλαν?[1]] τὸ σῶμα καὶ (*sic*) ἐν σιδόνι [σινδόνι] λευκῇ, ἅμα σὺν τῇ θεοτόκῳ καὶ τῇ Μαγδαληνῇ Μαρίᾳ καὶ τῇ Σαλώμῃ σὺν τῷ Ἰωάννῃ καὶ ταῖς λοιπαῖς γυναιξιν. Τοῦτον κηδεύσαντες ὡς ἔθος ἐν τῷ τάφῳ κατέθεντο. Ἡ δὲ θεοτόκος ἤρξατο θρηνεῖν και ἔλεγε κλαίουσα· πῶς σε κλαύσω, υἱέ μου, θεωρῶν (*sic*) σε ἀδίκως θνήσκοντα; πῶς θεωρῶ σε σάρκα μου; πῶς ζήσω χωρίς σου; Εἴθε πρὸ σοῦ ἀποθανεῖν εἶχον. Οἴμοι οἴμοι υἱέ μου, ποῦ ἡ ἐξουσία σου; ὦ φῶς ὀμμάτων μου, πῶς ὑπέμεινας τὴν σφαγὴν ταύτην; μὴ μίαν μόνην, ἀλλὰ τὰς πολλάς. Πῶς οὐκ ἀπέστειλας πῦρ ἐξ οὐρανοῦ κατακαῦσαι τοὺς Ἰουδαίους; εἰ γὰρ θνητὸς φαίνῃ διὰ τὴν τῶν βροτῶν σωτηρίαν, ἀλλ' οὐρανοῦ καὶ γῆς ποιητὴς εἶ. πῶς οὐ κατεσχίσθη ὁ οὐρανὸς θεωρῶν τὸν θάνατόν σου τὸν ἄδικον; εὐχαριστῶ, υἱὲ, τοῦ ἡλίου σου, ὅτι ἀπημαυρώθην (*sic*) καὶ τῆς γῆς, ὅτι ἐσχίσθη καὶ ἐφοβήθη· εὐχαριστῶ σας (*sic*) πέτραι μου, ὅτι ἐσχίσθητε, ἰδὼν (*sic*) τὴν ἀνομίαν τῶν Ἰουδαίων καὶ τὸν πικρὸν θάνατον τοῦ υἱοῦ μου. πῶς οὐ μή σε θρηνήσω, υἱέ μου; πῶς τὸ ἐμὸν πρόσωπον οὐ σπαράξω τοῖς (*sic*) ὄνυξιν; τοῦτο ἐκεῖνον (*sic*) ἐστὶν, υἱέ μου, ὅπερ Συμεὼν ὁ πρεσβύτης προεῖπέ μοι, ὅτε σε τεσσαρακονθήμερον βρέφος ἤγαγον τῷ ναῷ· αὕτη ἐστὶν ἡ ῥομφαία, ἥτις νῦν κατὰ τὴν ψυχήν μου διέρχεται· τίς τὰ ἐμὰ δάκρυα, γλυκύτατέ μου υἱὲ, καταπαύσῃ [καταπαύσει]; πάντως οὐδεὶς, εἰ μὴ σὺ μόνος, ἐὰν, καθὼς εἶπας, ἀναστήσει τριήμερος. Ἡ Μαγδαληνὴ Μαρία κλαίουσα ἔλεγε· ἀκούσατε, λαοὶ, φυλαὶ, γλῶσσαι, καὶ μάθετε ποίῳ θανάτῳ οἱ παράνομοι Ἰουδαῖοι ἐποίησαν τῶν μυρίων καλλῶν πρὸς αὐτοὺς πεποιηκότα παραδεδώκασι.[2] ἀκούσατε καὶ θαυμάσατε. τίς ἀκουστὰ ποιήσει ταῦτα πρὸς ἅπαντα κόσμον; ἐγὼ ἐν Ῥώμῃ μόνη πρὸς τὸν Καίσαρα ἀπελεύσομαι· ἐγὼ τοῦτο δηλώσω, ὅσον κακὸν ὁ Πιλάτος, τοῖς παρανόμοις Ἰουδαίοις πιθόμενος, πέπραχεν. Ὡσαύτως ὠδύρετο καὶ

---

[1] "Involverunt." — D.

[2] Omnia sic. — D.

ὁ Ἰωσὴφ, λέγων· οἴμοι οἴμοι γλυκύτατε Ἰησοῦ, ἐξ ἀνθρώπων φίλε ἐξαισιώτατε, εἰ χρή με καὶ ἄνθρωπον ὀνομάζειν σε, τὸν οἷα οὐδέποτε πεποίηκεν ἄνθρωπος θαύματα ἐργασάμενον. πῶς σε κηδεύσω, θεέ μου; πῶς σε ἐνταφιάσω, φιλάνθρωπε; νῦν ἔδει μοι συμπαρεῖναι οὓς ἐν ὀλίγοις ἄρτοις ἐξέθρεψας· οὕτω γὰρ οὐκ ἂν ἔδοξα τῆς ἀξίας ἀπολυπούμενος [ἀπολιπούμενος]. Οὕτω δὲ καὶ Ἰωάννης καὶ αἱ γυναῖκες ὠδύροντο. εἶτα ὁ μὲν Ἰωσὴφ μετὰ τοῦ Νικοδήμου ἐπορεύθησαν εἰς τὰ ἴδια· ὁμοίως δὲ καὶ ἡ θεοτόκος μετὰ τῶν γυναικῶν συμπαρόντος καὶ τοῦ Ἰωάννου αὐταῖς.

Ταῦτα γνωρίσαντες οἱ Ἰουδαῖοι πραχθέντα παρά τε Ἰωσὴφ καὶ τοῦ Νικοδήμου, ἐταράχθησαν κατ' αὐτῶν μεγάλως, καὶ διαμηνυσάμενοι τῷ Ἰωσὴφ οἱ ἀρχιερεῖς Ἄννας τε καὶ Καϊάφας εἶπον αὐτῷ· Διὰ τί ἐποίησας τὴν κηδείαν ταύτην ἐπὶ τῷ νεκρῷ Ἰησοῦ; Λέγει Ἰωσήφ· Ἐγὼ οἶδα τὸν Ἰησοῦν ἄνδρα δίκαιον, ἀληθινὸν καὶ ἀγαθὸν κατὰ πάντα, καὶ οἶδα ὑμᾶς ὅτι ἀπὸ φθόνου ᾠκονομήσατε τὸν φόνον αὐτοῦ· καὶ ἐν τούτῳ ἐκήδευσα αὐτόν. Τότε ὀργισθέντες οἱ ἀρχιερεῖς καὶ κρατήσαντες τὸν Ἰωσὴφ ἔβαλλον [ἔβαλον] αὐτὸν ἐν τῇ φυλακῇ καὶ λέγουσιν αὐτῷ· Εἰ μὴ αὔριον καὶ σὲ, ὡς ἐκεῖνον, ἐφονεύσαμεν ἄν· τὸ δὲ νῦν ἔχον τηρούμενον (sic) τῇ δὲ κυριακῇ πρωῒ θανάτῳ παραδοθήσῃ. Εἶπον ταῦτα, καὶ τὴν εἱρκτὴν τῇ σφραγίδι ἐσημειώσαντο, κλείθροις οὖσαν παντοίοις ἠσφαλισμένην. Τότε Ἰωσὴφ καὶ Νικόδημος μετὰ Ἰωάννην (sic) καὶ τῶν γυναικῶν ἐκόψαντο κοπετὸν μέγα [μέγαν]. καὶ εὗρεν (sic) τῷ τάφῳ, κατέθεντο. ἐπορεύθη δὲ Ἰωσὴφ καὶ Νικόδημος εἰς τὰ ἴδια. ἡ δὲ θεοτόκος ἐπορεύθη μετὰ τὸν Ἰωάννην, καὶ ἦλθον καὶ αἱ γυναῖκες μετ' αὐτῆς πρὸς τὸ παραδοθῆσαι (sic) αὐτόν. Οὕτω τοίνυν τῆς παρασκευῆς τελεσθείσης, τῷ σαββάτῳ πρωῒ ἀπῆλθον οἱ Ἰουδαῖοι πρὸς τὸν Πιλάτον καὶ εἶπον αὐτῷ· ὁ πλάνος ἐκεῖνος ἔτι ζῶν εἶπεν ὅτι μετὰ τρεῖς ἡμέρας ἐγερθήσεται· μήπως οἱ μαθηταὶ αὐτοῦ νυκτὸς κλέψαντες αὐτὸν καὶ πλανήσωσι τὸν λαὸν ἐπὶ τοιούτῳ ψεύδει, κέλευσον, δεόμεθά σου, τηρεῖσθαι τὸν τάφον αὐτοῦ. Ὁ Πιλάτος οὖν ἐπὶ τούτῳ ἔδωκεν αὐτοῖς στρατιώτας πεντακοσίους, οἳ

καὶ ἐκάθησαν [ἐκάθισαν] ἐπὶ τὸν τάφον, ὥστε τηρεῖν αὐτόν· θέμενοι καὶ σφραγῖδας [1]τὸν λίθον τοῦ μνήματος, ἐφύλαττον αὐτὸν τῶ (*sic*) σάββατον, ἕως ὄρθρου βαθέος τῆς κυριακῆς. Μετὰ τοῦτο σεισμὸς πάλιν ἐγένετο μέγας πρῶτον, εἶτα ἄγγελος κυρίου ἀστραπηφόρος ἐλθὼν ἐξ οὐρανοῦ ἐκύλισε τὸν λίθον ἐκ τοῦ μνήματος, καὶ ἐκάθισεν ἐπάνω αὐτοῦ· ἀπὸ (*sic*) δὲ τοῦ ἀγγέλου ἀπενεκρώθησαν οἱ στρατιῶται. Τότε ἀνέστη ὁ κύριος· ἤγειρε τὸν Ἀδὰμ καὶ πάντας τοὺς προφήτας, οὓς εἶχεν ὁ διάβολος ἐν τῇ χειρὶ αὐτοῦ, ἤγειρε δὲ κἀκεῖ πάντας τοὺς πιστεύοντας εἰς αὐτόν.

Εἴη τὸ ὄνομα κυρίου εὐλογημένον σὺν τῷ πατρὶ αὐτοῦ καὶ τῷ παναγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Τέλος τῶν ἁγίων παθῶν καὶ ἀρχὴ τῆς ἀναστάσεως αὐτοῦ, τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

[§ 14.] Τῆς κυριακῆς οὖν διαφωσκούσης συμβουλὴν ἐποίησαν οἱ ἀρχιερεῖς μετὰ τῶν Ἰουδαίων, καὶ ἀπέστειλαν ἐκβαλεῖν τὸν Ἰωσὴφ ἐκ τῆς φυλακῆς ἐπὶ τῷ θανατῶσαι αὐτόν· ἀνοίξαντες δὲ οὐχ εὗρον αὐτὸν καὶ ἐξενίζοντο ἐπὶ τούτῳ, πῶς τῶν θυρῶν κεκλεισμένων, καὶ σώων τῶν κλειδῶν, καὶ τῶν σφραγίδων εὑρεθεισῶν, Ἰωσὴφ δὲ ἐγένετο ἄφαντος. Ἐπὶ τούτῳ δὲ παραγενόμενος εἷς στρατιώτης ἐκ τῶν τηρούντων τὸν τάφον εἶπεν ἐν τῇ συναγωγῇ· Μάθετε, ὅτι ἀνέστη ὁ Ἰησοῦς. Λέγουσιν οἱ Ἰουδαῖοι· Πῶς; Ὁ δὲ ἔφη· Σεισμὸς μέγας ἐγένετο πρῶτον· εἶτα ἄγγελος κυρίου ἀστραπηφόρος ἐλθὼν ἐξ οὐρανοῦ ἐκύλισε τὸν λίθον τοῦ μνημείου, καὶ ἐκάθισεν ἐπάνω αὐτοῦ. Καὶ ἀπὸ τοῦ φόβου αὐτοῦ ἐγενόμεθα πάντες οἱ στρατιῶται — ὡς [ὡσεὶ] νεκροί, καὶ — οὔτε φυγεῖν ἐδυνάμεθα οὔτε λαλῆσαι. Ἠκούσαμεν δὲ τοῦ

---

[1] Sine ἐπὶ vel alia præp[ositione]. — D.

ἀγγέλου λέγοντος πρὸς τὰς γυναῖκας τὰς ἐλθούσας ἐκεῖσε τὸν τάφον ἰδεῖν·

Ὅτι μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γάρ, ὅτι τὸν Ἰησοῦν ζητεῖτε. Οὐκ ἔστιν ὧδε· ἀλλ' ἀνέστη, καθὼς προεῖπεν ὑμῖν. Κύψατε καὶ ἴδατε [ἴδετε] τὸν τάφον, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ.

Πορεύθητε δὲ καὶ εἴπατε τοῖς μαθηταῖς αὐτοῦ,[1] ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ πορευέσθωσαν ἐν τῇ Γαλιλαίᾳ· ἐκεῖ γὰρ αὐτὸν εὑρήσουσι. Διὰ τοῦτο λέγω πρὸς ὑμᾶς ἐγὼ τοῦτο πρότερον.

Λέγουσιν οἱ Ἰουδαῖοι πρὸς τοὺς στρατιώτας· Ποῖαι ἦσαν αἱ γυναῖκες αἱ ἐλθοῦσαι εἰς τὸ μνῆμα, καὶ διατί οὐκ ἐκρατήσατε αὐτάς; Λέγουσιν οἱ στρατιῶται· Ἐκ τοῦ φόβου καὶ τῆς θεωρίας μόνης τοῦ ἀγγέλου οὔτε λαλεῖν οὔτε σαλεύειν ἐδυνάμεθα. Εἶπον οὖν οἱ Ἰουδαῖοι· Ζῇ ὁ θεὸς τοῦ Ἰσραήλ, ὅτι οὐδὲν πιστεύομεν, ὅσον λέγετε. Λέγουσιν οἱ στρατιῶται· Τοσαῦτα θαύματα ἐποίησεν ὁ Ἰησοῦς, καὶ οὐκ ἐπιστεύσατε, καὶ ἄρτι μέλλετε πιστεύειν ἡμῖν; Ἀληθῶς λέγετε, ὅτι ζῇ ὁ θεός, καὶ ὄντως ἀληθῶς ζῇ καὶ ὃν ὑμεῖς ἐσταυρώσατε. Πλὴν οὐκ (sic) ἠκούσαμεν, ὅτι τὸν Ἰωσὴφ εἴχετε ἐν τῇ φυλακῇ κεκλεισμένον· εἶτα ἀνοίξαντες τὰς θύρας οὐχ εὕρατε αὐτόν; Δότε οὖν ὑμεῖς τὸν Ἰωσήφ, καὶ οὕτω δώσομεν καὶ ἡμεῖς τὸν Ἰησοῦν. Λέγουσιν οἱ Ἰουδαῖοι· Τὸν Ἰωσὴφ ἐκ φυλακῆς φυγόντα εὑρήσετε αὐτὸν εἰς Ἀριμαθίαν[2] τὴν χώραν αὐτοῦ. Λέγουσι καὶ οἱ στρατιῶται· Ἀπέλθατε (sic) καὶ ὑμεῖς εἰς τὴν Γαλιλαίαν, καὶ εὑρήσετε τὸν Ἰησοῦν, καθὼς ὁ ἄγγελος εἶπε ταῖς γυναιξίν.

Ἐπὶ τούτοις οἱ Ἰουδαῖοι φοβηθέντες εἶπον τοῖς στρατιώταις· Ὁρᾶτε, ἵνα μηδενὶ τοῦτον τὸν λόγον εἴπητε, καὶ πάντες πιστεύσουσιν[3] ἐπὶ τὸν Ἰησοῦν. Οὗ χάριν ἔδωκαν αὐτοῖς καὶ ἀργύρια πολλά, ἵνα εἴπωσιν· ἡμῶν κοιμωμένων ἦλθον οἱ μαθηταὶ αὐτοῦ καὶ ἔκλεψαν αὐτόν. Οἱ δὲ στρατιῶται εἶπον· Φοβούμεθα, μήπως ἀκούσῃ ὁ Πιλάτος, ὅτι ἐλάβομεν ἡμεῖς ἀργύρια, καὶ φονεύσει[4] ἡμᾶς. Οἱ δὲ Ἰουδαῖοι εἶπον· Λάβετε αὐτά,

---

[1] In marg. add. e Marc. xvi. 7, *καὶ τῷ Πέτρῳ*. — T.
[2] Scr. *Ἀριμαθαίαν*. — T.
[3] Fort. *πιστεύσωσιν*. — T.
[4] Fort. *φονεύσῃ*. — T.

καὶ ἐγγυώμεθα ἡμεῖς, ἵνα δώσωμεν τῷ Πιλάτῳ ἀπολογίαν ἀντὶ ὑμῶν· μόνον εἴπατε, ὅτι ἐκοιμᾶσθε. Καὶ ἔλαβον οἱ στρατιῶται τὰ ἀργύρια καὶ εἶπον καθὼς ἐπαρεγγέλθησαν [παρηγγέλθησαν]. Καὶ μέχρι τῆς σήμερον ὁ τοιοῦτος ψευδὴς λόγος λέγεται ὑπὸ τοῖς Ἰουδαίοις.

[§ 15.] Μεθ' ἡμέρας δὲ ὀλίγας ἦλθον ἀπὸ τῆς Γαλιλαίας εἰς τὰ Ἱεροσόλυμα ἄνθρωποι τρεῖς. Ἦν ὁ εἷς ἱερεὺς ὀνόματι Φινεές· ὁ ἕτερος Λευΐτης ὀνόματι Ἀγγέος·[1] ὁ δ' ἄλλος στρατιώτης ὀνόματι Ἀδᾶς. Οὗτοι ἦλθον πρὸς τοὺς ἀρχιερεῖς καὶ εἶπον αὐτοῖς καὶ τῷ λαῷ· Τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε, εἴδομεν ἐν τῇ Γαλιλαίᾳ μετὰ τῶν ἕνδεκα μαθητῶν αὐτοῦ εἰς τὸ ὄρος τῶν ἐλαιῶν διδάσκοντα αὐτοὺς καὶ λέγοντα· Πορευθῆτε εἰς πάντα κόσμον, καὶ κηρύξατε τὸ εὐαγγέλιον· καὶ ὁ πιστεύσας. καὶ βαπτισθῇ [βαπτισθεὶς] σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται. Καὶ ταῦτα λέγων ἀνέβαινεν εἰς τὸν οὐρανόν. Καὶ ὁράκαμεν [ἑωράκαμεν] αὐτὸν καὶ ἡμεῖς, καὶ ἄλλοι πολλοὶ τῶν πεντακοσίων ἐπέκεινα.

Ἀκούσαντες ταῦτα οἱ ἀρχιερεῖς καὶ οἱ Ἰουδαῖοι εἶπον πρὸς τοὺς τοιούτους τρεῖς· Δότε δόξαν τῷ θεῷ τοῦ Ἰσραὴλ, καὶ μετανοήσατε, ἐφ' οἷς καταψεύδεσθε. Ἀπεκρίθησαν οἱ τρεῖς οὗτοι· Ζῇ κύριος ὁ θεὸς τῶν πατέρων ἡμῶν, τοῦ Αβραὰμ, Ἰσαὰκ καὶ Ἰακὼβ, οὐ ψευδόμεθα, ἀλλ' ἀληθῶς ὑμῖν λέγομεν.

Τότε ἐξώρκισεν αὐτοὺς ὁ ἀρχιερεὺς, καὶ δοὺς αὐτοῖς ἀργύρια ἀπέστειλεν αὐτοὺς εἰς ἕτερον τόπον, ἵνα μὴ τὴν ἀνάστασιν τοῦ κυρίου ἐν Ἱεροσολύμοις κηρύξωσιν.

---

[1] Scr. Ἀγγαῖος. — T.

Although the Acts of Pilate, as originally written, cannot have extended beyond what has already been given, yet Mr. Duebner's collation of extracts in Thilo, on pp. 628–661, is subjoined.

Page.	Line of note.	Thilo.	Codex.
629	3	σταυρώσετε.[1]	
"	7	μηδενὶ	μηδὲν
635	2	ἀκούσαντες	ἀκούσας
"	9	Ἀριμαθαίαν	Ἀριματθίαν
637	7	στρατιωτῶν [καὶ]	στρατιωτῶν καὶ
"	8	ποιήσομεν	ποιήσωμεν
"	16	ἐβουλόμεθα	ἐβουλώμεθα
639	15	φιλῶν	φίλων
"	17	αὐτὴν	ταύτην
644	16	εἶπε	εἰπὲ
650	12	ὅρω	ὁρῶ
"	13	συρόμενον[2]	
"	16	κρατήσας	κρατῆ[3]
"	18	Ἐπιστρέφου	ἐπιστράφου
"	20	πρόχθες	προεχθὲς
655	8	Συμεῶνα	Συμεῶν
661	8	ἔμπροσθε	ἔμπροσθεν
"	9	εἶπαν	εἶπον
"	17	ἀλήθεια	ἀληθῶς

---

1 *σταυρώσετε*, quod notavit Thilo, a prima manu erat *σταυρώσειτε*, ut legendum videatur *σταυρώσητε*. — D.

2 Thilonis correctio *συρόμενον* improbabilis est, quia codex *perfectum* testatur, *ἑσυκομένον*. Melior nunc non succurrit. — D.

3 Pro *κρατεῖ*. — D.

Concluding Remarks by Mr. Duebner.

Habentur hæc paulo post initium columnæ alterius folii 276 recti. Supersunt columnæ 12, quibus non opus esse significasti. Ceterum *folia* quæ dicit Thilo, non *paginæ* ut scribis, sunt quattuor columnarum, quarum quæque continet lineas 32 medii fere digiti longitudini æquales. Reliqua ex hoc codice edita contuli usque ad finem paginæ 682 et bene relata esse vidi: quare ibi substiti.

University Press: John Wilson and Son, Cambridge.